GREEK SERIES · VOLUME 94

On Brotherly Love

Plutarch

ΠΕΡΙ ΦΙΛΑΔΕΛΦΙΑΣ

On Brotherly Love

With Seven More Essays on the Household

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 94 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Bernardakis' Teubner Moralia (1888–1891).
One chapter of The Education of Children is omitted; […] marks it.

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editor secludes are not printed; words he supplies are printed without their brackets; ∗∗∗ marks words the manuscripts have lost.

CONTENTS

ON BROTHERLY LOVE

I · The Rarity of Brotherly Love 9
II · Brothers and Their Parents 19
III · The Father's Death and the Inheritance 29
IV · Inequality, Age, and Rivalry 40
V · Examples, Friends, and Enemies 50
VI · The Brother's Household 62

ON AFFECTION FOR OFFSPRING

I · What the Animals Teach 71
II · Love Without Reward 85

THE EDUCATION OF CHILDREN

I · Birth, Nature, and Training 97
II · Tutors, Teachers, and Speaking 107
III · Philosophy, the Body, and Discipline 120
IV · Speech, Anger, and the Young Man 131
V · Bad Company and the Father's Example 139

ON MORAL VIRTUE

I · The Doctrines and the Two Parts of the Soul 149
II · Virtue as a Mean, and Continence 161
III · Proofs from Conflict and from Concord 174
IV · The Stoics Refuted 185
V · The Use of the Passions 194

ON TALKATIVENESS

I · The Talker Who Does Not Listen 203
II · Secrets Betrayed 214
III · Curiosity, Rumor, and the Cure 228
IV · Training the Tongue 241
V · Writing, Silence, and Simonides 253

ON BEING A BUSYBODY

I · Turning Curiosity Inward 259
II · What the Busybody Seeks 270
III · The Cure by Habit 281

ON THE LOVE OF WEALTH

I · Wealth Cannot Buy Contentment 295
II · The Miser and His Heirs 305

ON FALSE SHAME

I · The Weakness of Compliance 319
II · Practice in Refusing 330
III · The Courage to Refuse 341

PLUTARCH

ΠΕΡΙ ΦΙΛΑΔΕΛΦΙΑΣ

On Brotherly Love

ON BROTHERLY LOVE

I · THE RARITY OF BROTHERLY LOVE

Plutarch dedicates the essay to Nigrinus and Quintus, brothers who already practice what it urges. Brotherly love is now as rare as hatred of brothers was in antiquity. Nature made the body's organs in pairs, and brothers from one seed, to work together; a man who fights his brother and takes a stranger as comrade willingly cuts off a living limb to fit on a foreign one. Most friendships are shadows of the first one, and nothing pleases parents more than brothers' love: Apollonis blessed herself for three sons who guarded the eldest, while Artaxerxes died of despair on learning that his son Ochus had plotted against his brothers.

τὰ παλαιὰ τῶν Διοσκόρων ἀφιδρύματα Σπαρτιᾶται ‘δόκανα’ 1
the ancient of-the Dioscuri images Spartans beams
καλοῦσι· ἔστι δὲ δύο ξύλα παράλληλα δυσὶ πλαγίοις
they-call is and two timbers parallel by-two cross-pieces
ἐπεζευγμένα, καὶ δοκεῖ τῷ φιλαδέλφῳ τῶν θεῶν οἰκεῖον εἶναι
joined and seems to-the brother-loving of-the gods fitting to-be
τοῦ ἀναθήματος τὸ κοινὸν καὶ ἀδιαίρετον. οὕτω δὴ καὶ
of-the offering the common and undivided so indeed also
αὐτὸς ὑμῖν, ὦ Νιγρῖνε καὶ Κύντε, τὸ σύγγραμμα τοῦτο περὶ
myself to-you O Nigrinus and Quintus the treatise this on
φιλαδελφίας ἀνατίθημι, κοινὸν ἀξίοις οὖσι δῶρον. ἐφ’ ἃ γὰρ
brotherly-love I-dedicate common worthy being gift to what for
προτρέπεται, ταῦτα πράττοντες ἤδη μαρτυρεῖσθαι μᾶλλον
it-exhorts these-things doing already to-be-witnessed rather
ἢ παρακαλεῖσθαι δόξετε. καὶ τὸ χαῖρον ὑμῶν ἐφ’ οἷς
than to-be-exhorted you-will-seem and the rejoicing of-you at what-things
κατορθοῦτε ποιήσει τῇ κρίσει τὴν ἐπιμονὴν βεβαιοτέραν,
you-succeed will-make to-the judgment the persistence firmer
ὥσπερ ἐν χρηστοῖς καὶ φιλοκάλοις θεαταῖς εὐημερούντων.
as-if among good and beauty-loving spectators doing-well

Ἀρίσταρχος μὲν οὖν ὁ Θεοδέκτου πατήρ, ἐπισκώπτων τὸ
Aristarchus indeed then the of-Theodectes father mocking the
πλῆθος τῶν σοφιστῶν, ἔλεγε πάλαι μὲν ἑπτὰ σοφοὺς
multitude of-the sophists used-to-say long-ago indeed seven wise-men
μόλις γενέσθαι, τότε δὲ μὴ ῥᾳδίως ἂν ἰδιώτας τοσούτους
scarcely to-have-been then and not easily — laymen so-many
εὑρεθῆναι. ἐγὼ δ' ὁρῶ καθ' ἡμᾶς τὴν φιλαδελφίαν
to-be-found I and see in-the-time-of us the brotherly-love
οὕτω σπάνιον οὖσαν, ὡς τὴν μισαδελφίαν ἐπὶ τῶν
so rare being as the hatred-of-brothers among the
παλαιῶν, ἧς γε τὰ φανέντα παραδείγματα τραγῳδίαις
ancients of-which at-least the shown examples to-tragedies
καὶ θεάτροις ὁ βίος ἐξέδωκε διὰ τὸ παράδοξον· οἱ δὲ νῦν
and theaters the life published because-of the paradoxical the and now
ἄνθρωποι πάντες, ὅταν ἐντυγχάνωσι χρηστοῖς ἀδελφοῖς,
men all whenever they-meet with-good brothers
θαυμάζουσιν οὐδὲν ἧττον ἢ τοὺς Μολιονίδας ἐκείνους,
marvel nothing less than the Molionidae those
συμφυεῖς τοῖς σώμασι γεγονέναι δοκοῦντας· καὶ τὸ χρῆσθαι
grown-together in-the bodies to-have-been seeming and the to-use
κοινῶς τοῖς πατρῴοις χρήμασι καὶ φίλοις καὶ δούλοις
in-common the paternal possessions and friends and slaves
οὕτως ἄπιστον ἡγοῦνται καὶ τερατῶδες, ὡς τὸ χρῆσθαι
so incredible they-consider and monstrous as the to-use
μίαν ψυχὴν δυεῖν σωμάτων χερσὶ καὶ ποσὶ καὶ ὀφθαλμοῖς.
one soul of-two bodies hands and feet and eyes
2 καίτοι τὸ παράδειγμα τῆς χρήσεως τῶν ἀδελφῶν ἡ φύσις
and-yet the example of-the use of-the brothers the nature
οὐ μακρὰν ἔθηκεν, ἀλλ' ἐν αὐτῷ τῷ σώματι τὰ πλεῖστα
not far set but in itself the body the most
τῶν ἀναγκαίων διττὰ καὶ ἀδελφὰ καὶ δίδυμα μηχανησαμένη,
of-the necessary-things double and brother and twin having-contrived

χεῖρας πόδας ὄμματ᾽ ὦτα ῥῖνας, ἐδίδαξεν ὅτι ταῦτα πάντα
hands feet eyes ears nostrils taught that these-things all
σωτηρίας ἕνεκα καὶ συμπράξεως κοινῆς οὐ διαφορᾶς καὶ
of-preservation for-the-sake and of-cooperation common not of-difference and
μάχης οὕτω διέστησεν· αὐτάς τε τὰς χεῖρας εἰς πολλοὺς καὶ
of-battle thus she-separated themselves both the hands into many and
ἀνίσους δακτύλους σχίσασα πάντων ὀργάνων ἐμμελέστατα
unequal fingers having-split of-all instruments most-harmonious
καὶ τεχνικώτατα παρέσχεν, ὥστ᾽ Ἀναξαγόραν τὸν παλαιὸν
and most-skillful provided so-that Anaxagoras the ancient
ἐν ταῖς χερσὶ τὴν αἰτίαν τίθεσθαι τῆς ἀνθρωπίνης σοφίας καὶ
in the hands the cause to-place of-the human wisdom and
συνέσεως. ἀλλὰ τούτου μὲν ἔοικεν ἀληθὲς εἶναι τοὐναντίον·
intelligence but of-this indeed seems true to-be the-opposite
οὐ γὰρ ὅτι χεῖρας ἔσχεν ἄνθρωπος, σοφώτατον· ἀλλ᾽ ὅτι
not for because hands had man most-wise but because
φύσει λογικὸν ἦν καὶ τεχνικόν, ὀργάνων φύσει τοιούτων
by-nature rational he-was and skillful instruments by-nature such
ἔτυχεν. ἐκεῖνο δὲ παντὶ δῆλον, ὡς ἀπὸ σπέρματος ἑνὸς
he-obtained that and to-everyone clear that from seed one
καὶ μιᾶς ἀρχῆς ἡ φύσις ἀδελφοὺς δύο καὶ τρεῖς καὶ
and one origin the nature brothers two and three and
πλείονας, ἐποίησεν οὐ πρὸς διαφορὰν καὶ ἀντίταξιν, ἀλλ᾽
more made not for difference and opposition but
ὅπως χωρὶς ὄντες ἀλλήλοις μᾶλλον συνεργῶσιν.
so-that apart being with-one-another more they-may-cooperate
οἱ γὰρ δὴ τρισώματοι καὶ ἑκατόγχειρες, εἴπερ ἐγένοντο,
the for indeed three-bodied and hundred-handed if-indeed they-existed
συμφυεῖς ὄντες πᾶσι τοῖς μέρεσιν, οὐδὲν ἐκτὸς αὑτῶν οὐδὲ
grown-together being in-all the parts nothing outside themselves nor
χωρὶς ἐδύναντο ποιεῖν· ὃ τοῖς ἀδελφοῖς ὑπάρχει, καὶ
apart could do which to-the brothers belongs both

μένειν καὶ ἀποδημεῖν ἅμα καὶ πολιτεύεσθαι καὶ γεωργεῖν
to-stay and to-go-abroad at-once and to-be-citizens and to-farm
δυναμένοις δι᾽ ἀλλήλων, ἄνπερ ἦν ἡ φύσις ἔδωκεν
being-able through one-another if-only which the nature gave
εὐνοίας καὶ συμφωνίας ἀρχὴν φυλάττωσιν· εἰ δὲ μή, ποδῶν
of-goodwill and of-concord beginning they-guard if but not of-feet
οὐδέν, οἶμαι, διοίσουσιν ἀλλήλους ὑποσκελιζόντων καὶ
nothing I-think they-will-differ one-another tripping and
δακτύλων ἐμπλεκομένων καὶ διαστρεφομένων παρὰ φύσιν
of-fingers being-entangled and being-twisted against nature
ὑπ᾽ ἀλλήλων. μᾶλλον δ᾽ ὥσπερ ἐν ταὐτῷ σώματι μιᾶς
by one-another rather and as in the-same body one
κοινωνοῦντα φύσεως καὶ τροφῆς τὰ ὑγρὰ καὶ ξηρὰ καὶ
sharing of-nature and of-nourishment the moist and dry and
ψυχρὰ καὶ θερμά, τῇ ὁμονοίᾳ καὶ συμφωνίᾳ τὴν ἀρίστην
cold and hot by-the like-mindedness and concord the best
καὶ ἡδίστην κρᾶσιν ἐμποιεῖ καὶ ἁρμονίαν, ἧς χωρὶς οὔτε
and sweetest blend produce and harmony which without neither

‘πλούτου’
of-wealth

φασὶν οὔτε
they-say nor

‘τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληίδος ἀρχᾶς’
of-the god-equal for-men royal rule

εἶναί τινα χάριν καὶ ὄνησιν· ἂν δὲ πλεονεξία καὶ στάσις
to-be any grace and profit if and greed and faction
αὐτοῖς ἐγγένηται, διέφθειρεν αἴσχιστα καὶ συνέχεε τὸ
among-them arise destroyed most-shamefully and confounded the

ζῷον· οὕτως ἀδελφῶν ὁμοφροσύνῃ καὶ γένος καὶ οἶκος
living-thing so of-brothers by-like-mindedness both family and house
ὑγιαίνει καὶ τέθηλε, καὶ φίλοι καὶ συνήθεις ὥσπερ ἐμμελὴς
is-healthy and flourishes and friends and intimates like harmonious
χορὸς οὐδὲν οὔτε πράσσουσιν ἐναντίον οὔτε λέγουσιν οὔτε
chorus nothing either do contrary or say or
φρονοῦσιν·
think

‘ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς,’
in and dissension even the all-evil gets-a-share of-honor

οἰκέτης διάβολος ἢ κόλαξ παρενδὺς θυραῖος ἢ πολίτης
servant slanderer or flatterer slipping-in from-outside or citizen
βάσκανος. ὡς γὰρ αἱ νόσοι τοῖς σώμασι μὴ προσιεμένοις
envious as for the diseases in-the bodies not admitting
τὸ οἰκεῖον πολλῶν ἐμποιοῦσιν ἀτόπων καὶ βλαβερῶν
the proper of-many produce strange and harmful
ὀρέξεις, οὕτως ἡ πρὸς τὸ συγγενὲς διαβολὴ καὶ ὑφόρασις
cravings so the toward the kindred slander and suspicion
ὁμιλίας ἐπάγεται φαύλας καὶ πονηρὰς εἰς τὸ ἐλλιπὲς
associations brings-in base and wicked into the lacking
ἔξωθεν ἐπιρρεούσας.
from-outside flowing-in
ὁ μὲν οὖν Ἀρκαδικὸς μάντις ἀναγκαίως πόδα ξύλινον 3
the indeed then Arcadian seer of-necessity foot wooden
προσεποιήσατο καθ’ Ἡρόδοτον, τοῦ οἰκείου στερηθείς·
procured according-to Herodotus of-the own having-been-deprived
ἀδελφὸς δὲ πολεμῶν ἀδελφῷ καὶ ὀθνεῖον ἐξ ἀγορᾶς
brother but warring with-brother and stranger from market-place
ἢ παλαίστρας ἑταῖρον οὐδὲν ἔοικεν ἄλλο ποιεῖν ἢ
or wrestling-school comrade nothing seems other to-do than

σάρκινον καὶ συμφυὲς ἑκουσίως ἀποκόψας μέλος
of-flesh and grown-together willingly having-cut-off member
ἀλλότριον προστρίβεσθαι καὶ προσαρμόττειν. αὐτὴ γὰρ
foreign to-attach and to-fit-on itself for
ἡ προσδεχομένη καὶ ζητοῦσα φιλίαν καὶ ὁμιλίαν χρεία
the accepting and seeking friendship and company need
διδάσκει τὸ συγγενὲς τιμᾶν καὶ περιέπειν καὶ διαφυλάττειν,
teaches the kindred to-honor and to-cherish and to-preserve
ὡς ἀφίλους καὶ ἀμίκτους καὶ μονοτρόπους ζῆν μὴ
as friendless and unsociable and solitary to-live not
δυναμένους μηδὲ πεφυκότας. ὅθεν ὁ Μένανδρος ὀρθῶς
being-able nor made-by-nature whence — Menander rightly

‘οὐκ ἐκ πότων καὶ τῆς καθ’ ἡμέραν τρυφῆς
not from drinking-bouts and of-the by day luxury
ζητοῦμεν ᾧ πιστεύσομεν τὰ τοῦ βίου (φησί),
do-we-seek to-whom we-shall-entrust the-things of-the life he-says
πάτερ; οὐ περιττὸν οἴετ’ ἐξευρηκέναι
father not extraordinary does-he-think to-have-found
ἀγαθὸν ἕκαστος, ἂν ἔχῃ φίλου σκιάν;’
good each-one if he-has of-a-friend shadow

σκιαὶ γάρ εἰσιν ὄντως αἱ πολλαὶ φιλίαι καὶ μιμήματα
shadows for are really the many friendships and imitations
καὶ εἴδωλα τῆς πρώτης ἐκείνης, ἣν παισί τε πρὸς
and images of-the first that which in-children both toward
γονεῖς ἡ φύσις ἀδελφοῖς τε πρὸς ἀδελφοὺς ἐμπεποίηκε,
parents the nature in-brothers and toward brothers has-implanted
κἀκείνην ὁ μὴ σεβόμενος μηδὲ τιμῶν ἆρά τινα πίστιν
and-that the(-one) not revering nor honoring is-it any pledge
εὐνοίας τοῖς ἀλλοτρίοις δίδωσιν; ἢ ποιός τίς ἐστιν ὁ
of-goodwill to-the strangers gives or what-kind a-sort is the(-one)

τὸν ἑταῖρον ἐν φιλοφροσύναις καὶ γράμμασιν ἀδελφὸν
the comrade in greetings and letters brother
προσαγορεύων, τῷ δ' ἀδελφῷ μηδὲ τὴν αὐτὴν ὁδὸν
addressing with-the but brother not-even the same road
οἰόμενος δεῖν βαδίζειν; ὡς γὰρ εἰκόνα κοσμεῖν ἀδελφοῦ
thinking one-must to-walk as for image to-adorn of-a-brother
τὸ δὲ σῶμα τύπτειν καὶ ἀκρωτηριάζειν μανικόν, οὕτω
the but body to-beat and to-mutilate (is)-mad so
τοὔνομα σέβεσθαι καὶ τιμᾶν ἐν ἑτέροις αὐτὸν δὲ μισεῖν
the-name to-revere and to-honor in others him but to-hate
καὶ φεύγειν οὐχ ὑγιαίνοντός ἐστιν, οὐδ' ἐν νῷ πώποτε
and to-shun not of-one-being-sane is nor in mind ever
τὴν φύσιν ὡς ἁγιώτατον καὶ μέγιστον ἱερὸν λαβόντος.
the nature as most-holy and greatest sanctuary having-taken
οἶδα γοῦν ἐμαυτὸν ἐν Ῥώμῃ δυεῖν ἀδελφῶν ἀναδεξάμενον 4
I-know at-any-rate myself in Rome of-two brothers having-undertaken
δίαιταν, ὧν ἄτερος ἐδόκει φιλοσοφεῖν· ἦν δ' ὡς ἔοικεν
arbitration of-whom the-one seemed to-philosophize he-was but as it-seems
οὐ μόνον ἀδελφὸς ἀλλὰ καὶ φιλόσοφος ψευδεπίγραφος καὶ
not only brother but also philosopher falsely-titled and
ψευδώνυμος· ἐμοῦ γὰρ ἀξιοῦντος αὐτὸν ὡς ἀδελφῷ καὶ
falsely-named of-me for thinking-it-right him as to-brother and
ἰδιώτῃ φιλόσοφον προσφέρεσθαι, 'ταῦτ" εἶπεν 'ὡς πρὸς
to-layman philosopher to-behave these-things he-said as toward
ἰδιώτην ἀληθῶς, ἐγὼ δ' οὐ σεμνὸν οὐδὲ μέγα ποιοῦμαι τὸ
layman truly I but not solemn nor great make the
ἐκ τῶν αὐτῶν μορίων γεγονέναι.' 'σὺ μέν' ἔφην ἐγὼ 'δῆλος
from the same parts to-have-been-born you indeed I-said I clear
εἶ μηδὲ τὸ ἐκ μορίων γεγονέναι μέγα καὶ σεμνὸν
you-are not-even the from parts to-have-been-born great and solemn
ἡγούμενος. ἀλλ' οἵ γε ἄλλοι πάντες, εἰ καὶ μὴ φρονοῦσιν
considering but they at-least others all if even not they-think

οὕτω, λέγουσι γοῦν καὶ ᾄδουσιν, ὡς γονεῦσι τιμὴν μετὰ
so say at-any-rate and sing that to-parents honor after
θεοὺς πρώτην καὶ μεγίστην ἥ τε φύσις ὅ τε τὴν φύσιν
gods first and greatest the both nature the both the nature
σῴζων νόμος ἀπέδωκε· καὶ οὐκ ἔστιν ὅ τι μᾶλλον
preserving law assigned and not is what ever more
ἄνθρωποι κεχαρισμένον θεοῖς δρῶσιν, ἢ τοκεῦσιν αὑτῶν καὶ
men pleasing to-gods do than to-parents their-own and
τροφεῦσι ‘παλαιὰς ἐπὶ νέαις δανεισθείσας’ χάριτας εὐμενῶς
to-nurses old on new lent favors kindly
καὶ προθύμως ἐκτίνοντες. οὐδ’ αὖ πάλιν μείζων ἐπίδειξις
and eagerly repaying nor again in-turn greater display
ἀθέου γέγονε τῆς περὶ γονεῖς ὀλιγωρίας καὶ πλημμελείας·
of-godlessness has-been than-the toward parents neglect and offense
διὸ τοὺς μὲν ἄλλους κακῶς ποιεῖν ἀπείρηται, μητρὶ δ’
therefore the indeed others badly to-treat is-forbidden to-mother but
αὐτοῦ καὶ πατρὶ τὸ μὴ παρέχειν ἑαυτοὺς δρῶντας ἀεὶ καὶ
one's-own and to-father the not to-provide themselves doing always and
λέγοντας ἀφ’ ὧν εὐφρανοῦνται, κἂν μὴ προσῇ τὸ λυποῦν,
saying from which they-will-be-gladdened even-if not be-present the grieving
ἀνόσιον ἡγοῦνται καὶ ἄθεσμον. τίς οὖν ἐστι παρὰ παίδων
unholy they-consider and lawless what then is from children
γονεῦσιν ἢ πρᾶξις ἢ χάρις ἢ διάθεσις μᾶλλον εὐφραίνειν
to-parents either act or favor or disposition more to-gladden
δυναμένη τῆς πρὸς ἀδελφὸν εὐνοίας βεβαίου καὶ φιλίας;’
able than-the toward brother goodwill firm and friendship
ἢ τοῦτό γε ῥᾴδιόν ἐστιν ἀπὸ τῶν ἐναντίων καταμαθεῖν.
surely this at-least easy is from the opposites to-learn
ὅπου γὰρ οἰκότριβα τιμώμενον ὑπὸ πατρὸς ἢ μητρὸς
where for house-servant honored by father or mother
υἱοὶ προπηλακίζοντες καὶ φυτῶν καὶ χωρίων οἷς
sons treating-with-contempt and plants and lands in-which

ἔχαιρον ἀμελοῦντες ἀνιῶσιν αὐτούς, καὶ κύων τις
they-took-pleasure neglecting grieve them and dog some
οἰκογενὴς παρορώμενος καὶ ἵππος ἅπτεται φιλοστόργων
home-bred overlooked and horse touches affectionate
καὶ φιλοτίμων γερόντων, ἄχθονται δὲ καὶ παισὶν
and ambitious old-men are-vexed and also with-children
ἀκροάματα καὶ θεάματα καὶ ἀθλητάς, οὓς ἐθαύμαζον
shows and spectacles and athletes whom they-admired
αὐτοί, διασύρουσι καὶ καταφρονοῦσιν· ἦπου μετρίως
themselves disparage and despise surely moderately
ἔχουσιν υἱοῖς διαφερομένοις καὶ μισοῦσιν ἀλλήλους καὶ
are-they-disposed to-sons quarreling and hating one-another and
κακῶς λέγουσι καὶ πρὸς ἔργα καὶ πράξεις ἀντιταττομένοις
badly speaking and against deeds and actions opposing-themselves
ἀεὶ καὶ καταλυομένοις ὑπ᾽ ἀλλήλων; οὐκ ἂν εἴποι τις·
always and being-undone by one-another not — would-say anyone
οὐκοῦν τοὐναντίον ἐρῶντες ἀλλήλων καὶ φιλοῦντες ἀδελφοί,
therefore the-opposite loving one-another and cherishing brothers
καὶ ὅσον ἡ φύσις τοῖς σώμασι διέστησεν, ἐπὶ ταὐτὸ τοῖς
and as-much-as the nature in-the bodies separated to the-same in-the
πάθεσι καὶ τοῖς πράγμασιν ἀποδιδόντες, καὶ λόγους κοινοὺς
feelings and in-the affairs restoring and discourses common
καὶ διατριβὰς ἅμα καὶ παιδιὰς μετ᾽ ἀλλήλων ἔχοντες,
and pastimes together and games with one-another having
ἡδεῖαν καὶ μακαρίαν παρεσκευάκασι γηροτρόφον τοῖς
sweet and blessed have-prepared nurse-of-old-age for-the
γονεῦσι τὴν φιλαδελφίαν. οὔτε γὰρ φιλόλογος πατὴρ οὕτως
parents the brotherly-love neither for fond-of-letters father so
οὔτε φιλότιμος οὔτε φιλοχρήματος γέγονεν ὡς φιλότεκνος·
nor ambitious nor fond-of-money has-become as fond-of-children

διὸ τοὺς υἱοὺς οὔτε λέγοντας οὔτε πλουτοῦντας οὔτ'
therefore the sons neither speaking nor being-rich nor
ἄρχοντας ἡδέως οὕτως ὡς φιλοῦντας ἀλλήλους ὁρῶσιν.
ruling gladly so as loving one-another they-see
Ἀπολλωνίδα γοῦν τὴν Κυζικηνήν, Εὐμένους δὲ τοῦ
Apollonis at-any-rate the of-Cyzicus of-Eumenes and the
βασιλέως μητέρα καὶ τριῶν ἄλλων, Ἀττάλου καὶ
king mother and of-three others of-Attalus and
Φιλεταίρου καὶ Ἀθηναίου, λέγουσι μακαρίζειν ἑαυτὴν ἀεὶ
of-Philetaerus and of-Athenaeus they-say to-call-blessed herself always
καὶ τοῖς θεοῖς χάριν ἔχειν οὐ διὰ τὸν πλοῦτον οὐδὲ
and to-the gods thanks to-have not because-of the wealth nor
διὰ τὴν ἡγεμονίαν, ἀλλ' ὅτι τοὺς τρεῖς υἱοὺς ἑώρα
because-of the rule but because the three sons she-saw
τὸν πρεσβύτατον δορυφοροῦντας κἀκεῖνον ἐν μέσοις αὐτοῖς
the eldest guarding-as-spearmen and-him in middle them
δόρατα καὶ ξίφη φοροῦσιν ἀδεῶς διαιτώμενον. ὥσπερ
spears and swords carrying fearlessly living as
αὖ τοὐναντίον, Ἀρτοξέρξης αἰσθόμενος Ὤχον τὸν υἱὸν
again the-opposite Artaxerxes having-perceived Ochus the son
ἐπιβεβουλευκότα τοῖς ἀδελφοῖς ἀθυμήσας ἀπέθανε·
having-plotted against-the brothers having-despaired died

'χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν'
harsh wars for of-brothers

ὡς Εὐριπίδης εἴρηκεν ὄντες, χαλεπώτατοι τοῖς γονεῦσιν
as Euripides has-said being harshest to-the parents
αὐτοῖς εἰσιν· ὁ γὰρ μισῶν τὸν ἀδελφὸν αὑτοῦ καὶ
themselves are the(-one) for hating the brother his-own and

βαρυνόμενος οὐ δύναται μὴ τὸν γεννήσαντα μέμφεσθαι
being-burdened not can not the having-begotten to-blame
καὶ τὴν τεκοῦσαν.
and the having-borne

II · BROTHERS AND THEIR PARENTS

Good sons love one another all the more for their parents' sake and their parents for one another's; Homer pities the brotherless Telemachus, and Hesiod wrongly prefers an only son. A father who quarrels with his brothers teaches his sons to do the same, and a broken bond between brothers heals into a scar. A brother is not replaced like a friend, as the Persian woman said who chose her brother over her children, and a bad brother is to be borne, not judged more harshly than strangers. While the parents live, a son should not court their goodwill for himself alone; he should take part of their anger at his brother on himself, excuse his failings, as Agamemnon excused Menelaus, and give them kinder names.

ὁ μὲν οὖν Πεισίστρατος ἐπιγαμῶν ἐνηλίκοις οὖσι τοῖς υἱοῖς, 6
— indeed then Peisistratus marrying-again grown-up being the sons
ἔφη, καλοὺς ἐκείνους κἀγαθοὺς ἡγούμενος, ἔτι πλειόνων
said fine them and-good considering still of-more
ἐθέλειν τοιούτων πατὴρ γενέσθαι. χρηστοὶ δὲ καὶ δίκαιοι
to-wish such father to-become good and also just
παῖδες οὐ μόνον διὰ τοὺς γονεῖς ἀγαπήσουσι μᾶλλον
children not only because-of the parents will-love more
ἀλλήλους, ἀλλὰ καὶ τοὺς γονεῖς δι' ἀλλήλους· οὕτως
one-another but also the parents because-of one-another so
ἀεὶ καὶ φρονοῦντες καὶ λέγοντες, ὅτι τοῖς γονεῦσιν ἀντὶ
always both thinking and saying that to-the parents in-return-for
πολλῶν χάριν ὀφείλοντες μάλιστα διὰ τοὺς ἀδελφοὺς
many favor owing most because-of the brothers
ὀφείλουσιν, ὡς τοῦτο δὴ κτημάτων ἁπάντων τιμιώτατον
they-owe as this indeed of-possessions all most-precious

καὶ ἥδιστον ἔχοντες παρ᾽ αὐτῶν. εὖ γέ τοι καὶ Ὅμηρος
and sweetest having from them well at-least surely also Homer
πεποίηκε Τηλέμαχον ἐν συμφορᾷ τὸ ἀνάδελφον τιθέμενον·
has-made Telemachus in misfortune the brotherless placing

‘ὣδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων.’
thus for our line made-single the-son-of-Cronus

ὁ δ᾽ Ἡσίοδος οὐκ εὖ παραινεῖ ‘μουνογενῆ παῖδα’ τῶν
— and Hesiod not well advises only-begotten son of-the
πατρῴων ἐπίκληρον εἶναι, καὶ ταῦτα τῶν Μουσῶν γεγονὼς
paternal-goods heir to-be and that of-the Muses having-become
μαθητής, ἃς ὁμοῦ δι᾽ εὔνοιαν ἀεὶ καὶ φιλαδελφίαν
pupil whom together because-of goodwill always and brotherly-love
οὔσας οὕτως ὠνόμαζον. πρὸς μὲν οὖν γονεῖς ἡ φιλαδελφία
being so they-named toward indeed then parents the brotherly-love
τοιοῦτόν ἐστιν, ὥστε τὸ φιλεῖν ἀδελφὸν εὐθὺς ἀπόδειξιν
such is that the to-love brother at-once proof
εἶναι τοῦ καὶ τὴν μητέρα φιλεῖν καὶ τὸν πατέρα· πρὸς
to-be of-the also the mother to-love and the father toward
δὲ παῖδας αὑτοῦ δίδαγμα καὶ παράδειγμα φιλαδελφίας,
and children his-own lesson and example of-brotherly-love
οἷον οὐδὲν ἄλλο· καὶ τοὐναντίον αὖ πονηρὸν ὥσπερ ἐξ
such-as nothing other and the-opposite again wicked as-if from
ἀντιγράφου πατρῴου τὴν μισαδελφίαν ἀναλαμβάνουσιν.
copy paternal the hatred-of-brothers they-take-up
ὁ γὰρ ἐν δίκαις καὶ στάσεσι καὶ ἀγῶσι πρὸς ἀδελφοὺς
the(-one) for in lawsuits and factions and contests against brothers
ἐγγεγηρακὼς εἶτα τοὺς υἱοὺς ὁμονοεῖν παρακαλῶν
having-grown-old then the sons to-agree exhorting

‘ἄλλων ἰατρός, αὐτὸς ἕλκεσιν βρύων’
of-others physician himself with-sores teeming

ἀσθενῆ ποιεῖ τοῖς ἔργοις τὸν λόγον. εἰ γοῦν ὁ Θηβαῖος
weak makes by-the deeds the speech if at-any-rate the Theban
Ἐτεοκλῆς πρὸς τὸν ἀδελφὸν εἰρηκώς
Eteocles to the brother having-said

‘ἄστρων ἂν ἔλθοιμ’ ἡλίου πρὸς ἀντολὰς
of-the-stars — I-would-go of-the-sun to risings
καὶ γῆς ἔνερθε δυνατὸς ὢν δρᾶσαι τάδε,
and of-earth beneath able being to-do these-things
τὴν θεῶν μεγίστην ὥστ’ ἔχειν τυραννίδα·’
the of-gods greatest so-as to-have tyranny

τοῖς αὑτοῦ πάλιν παρεκελεύετο τέκνοις
to-the his-own again exhorted children

‘ἰσότητα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις
equality to-honor which friends always to-friends
πόλεις τε πόλεσι συμμάχους τε συμμάχοις
cities and to-cities allies and to-allies
συνδεῖ· τὸ γὰρ ἴσον νόμιμον ἀνθρώποις ἔφυ,’
binds the for equal lawful for-men is-by-nature

τίς οὐκ ἂν αὐτοῦ κατεφρόνησε; ποῖος δ’ ἂν ἦν
who not — him would-have-despised what-sort and — would-have-been
ὁ Ἀτρεύς, εἰ τοιαῦτα δειπνίσας τὸν ἀδελφὸν ἐγνωμολόγει
— Atreus if such-things having-feasted the brother he-moralized
πρὸς τοὺς παῖδας
to the children

‘φίλων γε μέντοι χρῆσις ἡ πρὸς αἵματος
of-friends at-least however use the by blood
μόνη κακοῦ ῥέοντος ὠφελεῖν φιλεῖ;’
alone evil flowing to-help is-wont

7 διὸ καὶ γονέων κακὴν γηροτρόφον οὖσαν καὶ κακίονα
therefore also of-parents bad nurse-of-old-age being and worse
παιδοτρόφον τέκνων ἐκκαθαίρειν προσήκει τὴν μισαδελφίαν.
nurse of-children to-purge-away befits the hatred-of-brothers
ἔστι δὲ καὶ πρὸς πολίτας διάβολος καὶ κατήγορος· οἴονται
it-is and also toward citizens slanderous and accuser they-think
γὰρ οὐκ ἂν ἐκ τοσῆσδε συντροφίας καὶ συνηθείας καὶ
for not — from such-great rearing-together and intimacy and
οἰκειότητος ἐχθροὺς καὶ πολεμίους γενέσθαι, μὴ πολλὰ
kinship hostile and enemies to-become not many
καὶ πονηρὰ συνειδότας ἀλλήλοις. μεγάλαι γὰρ αἰτίαι
and wicked-things knowing-with one-another great for causes
μεγάλην διαλύουσιν εὔνοιαν καὶ φιλίαν· ὅθεν οὐδὲ ῥᾳδίως
great dissolve goodwill and friendship whence not-even easily
αὖθις ἐνδέχονται διαλύσεις. ὥσπερ γὰρ τὰ συμπαγέντα,
again they-admit reconciliations as for the joined-together
κἂν χαλάσῃ τὸ ἐχέκολλον, ἐνδέχεται πάλιν δεθῆναι καὶ
even-if loosens the glue it-is-possible again to-be-bound and
συνελθεῖν, συμφυοῦς δὲ σώματος ῥαγέντος ἢ σχισθέντος,
to-come-together of-grown-together but body broken or split
ἔργον ἐστὶ κόλλησιν εὑρεῖν καὶ σύμφυσιν· οὕτως αἱ μὲν ὑπὸ
task it-is joining to-find and growing-together so the indeed by
χρείας συνημμέναι φιλίαι κἂν διαστῶσιν οὐ χαλεπῶς αὖθις
need joined friendships even-if they-stand-apart not with-difficulty again
ἀναλαμβάνουσιν· ἀδελφοὶ δὲ τοῦ κατὰ φύσιν ἐκπεσόντες
resume brothers but from-the according-to nature having-fallen

οὔτε ῥᾳδίως συνέρχονται, κἂν συνέλθωσι, ῥυπαρὰν καὶ
neither easily come-together and-if they-come-together dirty and
ὕποπτον οὐλὴν αἱ διαλύσεις ἐφέλκονται. πᾶσα μὲν οὖν ἔχθρα
suspicious scar the reconciliations draw-after-them every indeed then enmity
πρὸς ἄνθρωπον ἀνθρώπῳ μετὰ τῶν μάλιστα λυπούντων
toward man for-man with the most grieving
ἐνδυομένη παθῶν, φιλονεικίας ὀργῆς φθόνου μνησικακίας,
entering passions rivalry anger envy rancor
ὀδυνηρόν ἐστι καὶ ταραχῶδες· ἡ δὲ πρὸς ἀδελφόν, ᾧ
painful is and turbulent the but toward brother with-whom
θυσιῶν τε κοινωνεῖν ἀνάγκη καὶ ἱερῶν πατρῴων ὁμόταφόν
sacrifices both to-share necessity and rites ancestral sharing-a-tomb
τε γενέσθαι καί που σύνοικον ἢ γείτονα χωρίων, ἐν ὄμμασιν
and to-become and perhaps housemate or neighbor of-lands in eyes
ἔχει τὸ λυπηρόν, ὑπομιμνήσκουσα καθ᾽ ἡμέραν τῆς ἀνοίας
has the painful reminding every day of-the folly
καὶ παραφροσύνης, δι᾽ ἣν τὸ ἥδιστον καὶ συγγενέστατον
and madness because-of which the sweetest and most-kindred
πρόσωπον βλέπεται σκυθρωπότατον, ἥ τε προσφιλὴς ἐκ
face is-seen most-sullen the and dear from
νέων φωνὴ καὶ συνήθης ἀκοῦσαι φοβερωτάτη γέγονε.
youth voice and familiar to-hear most-fearful has-become
πολλοὺς δὲ τῶν ἄλλων ἀδελφῶν ὁρῶντες οἰκίᾳ τε
many and of-the other brothers seeing house both
μιᾷ χρωμένους καὶ τραπέζῃ καὶ χωρίοις ἀνεμήτοις καὶ
one using and table and lands undivided and
ἀνδραπόδοις, αὐτοὶ καὶ φίλους διῄρηνται καὶ ξένους, ἐχθρὰ
slaves themselves both friends have-divided and guests hostile
πάντα τὰ προσφιλῆ τοῖς ἀδελφοῖς νέμοντες· καὶ ταῦτα,
all the dear-things to-the brothers counting and these-things
πᾶσιν ἐν μέσῳ λογίζεσθαι παρόντος, ὅτι, ‘ληιστοί᾽ μέν
for-all in middle to-reckon it-being-possible that to-be-won-by-raid indeed

τε φίλοι καὶ συμπόται ‘κτητοῖ’ δὲ κηδεσταὶ
both friends and drinking-companions to-be-acquired and kinsmen-by-marriage
καὶ συνήθεις, τῶν πρώτων ὥσπερ ὅπλων ἢ ὀργάνων
and intimates of-the first as-if weapons or tools
διαφθαρέντων· ἀδελφοῦ δ’ ἀντίκτησις οὐκ ἔστιν, ὥσπερ
destroyed of-brother but replacement not is as
οὐδὲ χειρὸς ἀφαιρεθείσης οὐδ’ ὄψεως ἐκκοπείσης· ἀλλ’
not-even of-hand removed nor of-eye knocked-out but
ὀρθῶς ἡ Περσὶς εἶπεν, ἀντὶ τῶν τέκνων ἑλομένη σῶσαι
rightly the Persian-woman said instead-of the children having-chosen to-save
τὸν ἀδελφόν, ὅτι παῖδας μὲν ἑτέρους κτήσασθαι δύναιτ’ ἄν,
the brother that children indeed other to-acquire she-could —
ἀδελφὸς δ’ ἄλλος αὐτῇ, γονέων μὴ ὄντων, οὐκ ἂν γένοιτο.
brother but other for-her parents not being not — would-be
8 τί δῆτα χρὴ ποιεῖν, φαίη τις ἄν, ὅτῳ φαῦλος ἀδελφὸς
what then must-one to-do would-say anyone — to-whom bad brother
γένοιτο; πρῶτον ἐκεῖνο μνημονεύειν, ὅτι παντὸς ἅπτεται
should-be first that to-remember that every touches
γένους φιλίας ἡ φαυλότης, καὶ κατὰ τὸν Σοφοκλέα
kind of-friendship the badness and according-to — Sophocles

‘τὰ πλεῖστα φωρῶν αἰσχρὰ φωράσεις βροτῶν.’
the most searching base-things you-will-find of-mortals

οὔτε γὰρ τὸ συγγενικὸν οὔτε τὸ ἑταιρικὸν οὔτε τὸ
neither for the kindred nor the comradely nor the
ἐρωτικὸν εἰλικρινὲς καὶ ἀπαθὲς καὶ καθαρὸν ἔστιν εὑρεῖν
erotic pure and unaffected and clean is to-find
κακίας. ὁ μὲν οὖν Λάκων μικρὰν γυναῖκα γήμας
of-vice the indeed then Laconian small wife having-married
ἔφη τὰ ἐλάχιστα δεῖν αἱρεῖσθαι τῶν κακῶν, ἀδελφῷ δὲ
said the least one-must to-choose of-the evils to-brother but

σωφρόνως παραινέσειεν ἄν τις τὰ οἰκειότατα τῶν κακῶν
prudently would-advise — anyone the most-kindred of-the evils
ὑπομένειν μᾶλλον ἢ πειρᾶσθαι τῶν ἀλλοτρίων· τοῦτο γὰρ
to-endure rather than to-try the foreign this for
ἀνέγκλητον ὡς ἀναγκαῖον, ἐκεῖνο δὲ ψεκτὸν ὡς αὐθαίρετον.
blameless as necessary that but blameworthy as self-chosen
οὐ γὰρ ὁ συμπότης οὐδ' ὁ συνέφηβος οὐδ' ὁ ξένος
not for the drinking-companion nor the fellow-youth nor the guest

'αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις,'
of-shame with-unforged is-yoked fetters

ἀλλ' ὁ σύναιμος καὶ σύντροφος καὶ ὁμοπάτωρ καὶ
but the of-one-blood and fellow-nursling and of-the-same-father and
ὁμομήτωρ, ᾧ καὶ τῶν ἁμαρτημάτων εἰκός ἐστιν
of-the-same-mother to-whom also of-the errors fitting it-is
ἐπιχωρεῖν ἔνια, καὶ παρείκειν λέγοντα πρὸς ἀδελφὸν
to-concede some and to-yield saying to brother
ἐξαμαρτάνοντα
erring

'τοὔνεκά σ' οὐ δύναμαι προλιπεῖν δύστηνον ἐόντα'
therefore you not I-can to-abandon wretched being

καὶ φαῦλον καὶ ἀνόητον, μὴ καὶ λάθω τι πατρῷον
and bad and foolish lest also I-escape-notice some paternal
ἢ μητρῷον ἐνεσταγμένον ἀπὸ σπέρματος νόσημα χαλεπῶς
or maternal instilled from seed disease harshly
καὶ πικρῶς τῷ μισεῖν ἐν σοὶ κολάζων. τοὺς μὲν γὰρ
and bitterly by-the to-hate in you punishing the indeed for
ἀλλοτρίους, ὡς ἔλεγε Θεόφραστος, οὐ φιλοῦντα δεῖ
strangers as used-to-say Theophrastus not loving one-must

κρίνειν ἀλλὰ κρίναντα φιλεῖν· ὅπου δ' ἡ φύσις ἡγεμονίαν
to-judge but having-judged to-love where but the nature leadership
τῇ κρίσει πρὸς εὔνοιαν οὐ δίδωσιν οὐδ' ἀναμένει τὸν
to-the judgment toward goodwill not gives nor awaits the
θρυλούμενον τῶν ἁλῶν μέδιμνον ἀλλὰ συγγεγέννηκε τὴν
much-talked-of of-the salt bushel but has-engendered-with the
ἀρχὴν τῆς φιλίας, ἐνταῦθα δεῖ μὴ πικροὺς εἶναι
beginning of-the friendship there one-must not harsh to-be
μηδ' ἀκριβεῖς τῶν ἁμαρτημάτων ἐξεταστάς. νυνὶ δὲ τί
nor strict of-the errors examiners now but what
ἂν λέγοις, εἰ ξένων ἀνθρώπων καὶ ἀλλοτρίων ἐκ
— would-you-say if of-strange men and foreign from
πότου τινὸς ἢ παιδιᾶς ἢ παλαίστρας προσφθαρέντων
drinking-bout some or play or wrestling-school attached
ἁμαρτήματα ῥᾳδίως ἔνιοι φέροντες καὶ ἡδόμενοι, δύσκολοι
errors easily some bearing and taking-pleasure peevish
καὶ ἀπαραίτητοι πρὸς τοὺς ἀδελφούς εἰσιν; ὅπου καὶ
and implacable toward the brothers are where both
κύνας χαλεποὺς καὶ ἵππους, πολλοὶ δὲ καὶ λύγκας
dogs savage and horses many and also lynxes
αἰλούρους πιθήκους λέοντας τρέφοντες καὶ ἀγαπῶντες,
cats apes lions rearing and loving
ἀδελφῶν οὐχ ὑπομένουσιν ὀργὰς ἢ ἀγνοίας ἢ φιλοτιμίας;
of-brothers not endure angers or ignorances or ambitions
ἕτεροι δὲ παλλακίσι καὶ πόρναις οἰκίας καὶ ἀγροὺς
others and to-concubines and harlots houses and fields
καταγράφοντες ὑπὲρ οἰκοπέδου καὶ γωνίας πρὸς ἀδελφοὺς
making-over for building-plot and corner against brothers
διαμονομαχοῦσιν; εἶτα τῷ μισαδέλφῳ μισοπονηρίαν ὄνομα
fight-to-the-death then to-the hatred-of-brothers hatred-of-wickedness name
θέμενοι, περινοστοῦσιν ἐν τοῖς ἀδελφοῖς τὴν κακίαν
having-given go-about among the brothers the vice

προβαλλόμενοι καὶ λοιδοροῦντες, ἐν δὲ τοῖς ἄλλοις μὴ
throwing-forward and reviling among but the others not
δυσχεραίνοντες ἀλλὰ χρώμενοι πολλῇ καὶ συνόντες.
being-annoyed but associating much and being-with-them
ταυτὶ μὲν οὖν ἔστω προοίμια τοῦ λόγου παντός. ἀρχὴν 9
these indeed then let-be preludes of-the discourse whole beginning
δὲ τῆς διδασκαλίας μὴ τὴν νέμησιν τῶν πατρῴων, ὥσπερ
and of-the instruction not the distribution of-the paternal-goods as
ἕτεροι, λάβωμεν, ἀλλὰ τὴν ἔτι ζώντων ἁμαρτανομένην
others let-us-take but the still living committed
τῶν γονέων ἅμιλλαν καὶ ζηλοτυπίαν. οἱ μὲν γὰρ
of-the parents rivalry and jealousy the indeed for
ἔφοροι, τοῦ Ἀγησιλάου τῶν ἀποδεικνυμένων ἀεὶ γερόντων
ephors — of-Agesilaus of-the appointed always elders
ἑκάστῳ βοῦν ἀριστεῖον πέμποντος, ἐζημίωσαν αὐτὸν αἰτίαν
to-each ox prize-of-valor sending fined him cause
ὑπειπόντες, ὅτι τοὺς κοινοὺς ἰδίους κτᾶται δημαγωγῶν καὶ
alleging that the common-men his-own he-acquires courting-the-people and
χαριζόμενος· υἱῷ δ' ἄν τις παραινέσειε θεραπεύειν γονεῖς
gratifying to-son but — anyone would-advise to-serve parents
μὴ κτώμενον ἑαυτῷ μόνῳ μηδ' εἰς ἑαυτὸν ἀποστρέφοντα
not acquiring for-himself alone nor to himself turning
τὴν εὔνοιαν· ᾧ τρόπῳ πολλοὶ καταδημαγωγοῦσι τοὺς
the goodwill in-which way many win-over-by-courting the
ἀδελφούς, εὐπρεπῆ πρόφασιν οὐ δικαίαν δὲ τῆς πλεονεξίας
brothers specious pretext not just but of-the greed
ταύτης ἔχοντες. τὸ γὰρ μέγιστον τῶν πατρῴων καὶ
this having the for greatest of-the paternal-goods and
κάλλιστον ἀποστεροῦσιν αὐτούς, τὴν εὔνοιαν, ἀνελευθέρως
finest they-rob them the goodwill illiberally
καὶ πανούργως ὑποτρέχοντες, ἐν καιρῷ ταῖς ἐκείνων
and knavishly stealing-in at the-right-time to-the of-those

ἀσχολίαις καὶ ἀγνοίαις ἐπιτιθέμενοι καὶ μάλιστα παρέχοντες
occupations and ignorances attacking and most presenting
εὐτάκτους καὶ κατηκόους αὑτοὺς καὶ σώφρονας, ἐν οἷς
well-ordered and obedient themselves and prudent in what-things
ἐκείνους ἁμαρτάνοντας ἢ δοκοῦντας ὁρῶσι. δεῖ δὲ
those erring or seeming they-see one-must but
τοὐναντίον, ὅπου μὲν ὀργή, συνεκδέχεσθαι καὶ συννοδύεσθαι
the-opposite where indeed anger to-receive-with and to-take-on-oneself
καθάπερ τῷ συνεργεῖν ποιοῦντα κουφοτέραν, ὑπουργίαις
as-it-were by-the to-cooperate making lighter by-services
δὲ καὶ χάρισι συνεισποιεῖν ἁμωσγέπως τὸν ἀδελφόν·
and also by-favors to-bring-in-with somehow the brother
ἐλλείποντος δέ που, καιρὸν ἢ πρᾶξιν ἑτέραν ἢ τὴν φύσιν
failing but somewhere occasion or action other or the nature
αἰτιᾶσθαι, ὡς μᾶλλον πρὸς ἄλλα χρησιμωτέραν καὶ
to-blame as more for other-things more-useful and
σεμνοτέραν οὖσαν. εὖ δ' ἔχει καὶ τὸ τοῦ Ἀγαμέμνονος, ὡς
more-dignified being well and holds also the — of-Agamemnon as

'οὔτ' ὄκνῳ εἴκων οὔτ' ἀφραδίῃσι νόοιο,
neither to-sloth yielding nor to-thoughtlessness of-mind
ἀλλ' ἐμέ τ' εἰσορόων καὶ ἐμὴν ποτιδέγμενος ὁρμήν'
but me both looking-to and my awaiting impulse

κἀμοὶ τοῦτο παραδοὺς τὸ καθῆκον. ἡδέως δὲ καὶ
and-to-me this having-handed-over the duty gladly and also
τῶν ὀνομάτων τὰς μεταθέσεις οἱ πατέρες προσδέχονται
of-the names the changes the fathers accept
καὶ πιστεύουσι τοῖς υἱοῖς, ἁπλότητα μὲν τὴν ῥᾳθυμίαν
and believe the sons simplicity indeed the indolence
τῶν ἀδελφῶν ὀνομάζουσιν ὀρθότητα δὲ τὴν σκαιότητα,
of-the brothers calling uprightness but the clumsiness

τὸ δὲ φιλόνεικον ἀκαταφρόνητον· ὥστε τῷ διαλλάσσοντι
the and contentiousness not-to-be-despised so-that for-the reconciling
περίεστι τὴν πρὸς τὸν ἀδελφὸν ὀργὴν ἐλαττοῦν ἅμα
it-results the toward the brother anger to-lessen at-the-same-time
καὶ τὴν πρὸς ἑαυτὸν εὔνοιαν αὔξειν τοῦ πατρός.
and the toward himself goodwill to-increase of-the father

III · THE FATHER'S DEATH AND THE INHERITANCE

A son who has defended his brother to their parents should then rebuke him frankly, and should plead openly for a brother wrongly blamed. When the father dies, brothers should share their grief, reject slanderers, and divide the estate as friends, unlike the Opuntians Charicles and Antiochus, who cut a cup and a cloak in two; Athenodorus pooled his share with Xenon, the elder brother who had squandered the estate. Pittacus said he had twice what he wished, since his brother had died. The brother who excels should share his distinctions and lower his pride, as Lucullus, Polydeuces, and Plato did; and since no brother excels in everything, the lesser should turn his envy outward.

οὕτω δ' ἀπολογησάμενον ἤδη πρὸς ἐκεῖνον δεῖ 10
so and having-defended already toward him one-must
τρέπεσθαι καὶ καθάπτεσθαι σφοδρότερον, τὸ ἁμάρτημα
to-turn and to-attack more-vehemently the error
καὶ τὸ ἔλλειμμα μετὰ παρρησίας ἐνδεικνύμενον. οὔτε γὰρ
and the shortcoming with frankness pointing-out neither for
ἐφιέναι δεῖ τοῖς ἀδελφοῖς οὔτ' αὖ πάλιν ἐπεμβαίνειν
to-give-free-rein one-must to-the brothers nor again in-turn to-trample-on
ἁμαρτάνουσιν αὐτοῖς (τὸ μὲν γὰρ ἐπιχαίροντός ἐστιν ἐκεῖνο
erring them the indeed for of-one-rejoicing-over-it is that
δὲ συνεξαμαρτάνοντος), ἀλλὰ κηδομένῳ καὶ συναχθομένῳ
but of-one-sharing-the-error but as-one-caring and grieving-with
χρῆσθαι τῷ νουθετοῦντι. γίγνεται δὲ κατήγορος ἀδελφοῦ
to-behave the admonishing becomes and accuser of-brother

σφοδρότατος πρὸς αὐτὸν ὁ προθυμότατος ὑπὲρ αὐτοῦ
most-vehement toward him the most-zealous for him
συνήγορος πρὸς τοὺς γονεῖς γενόμενος. ἂν δὲ μηδὲν
advocate toward the parents having-become if but nothing
ἁμαρτάνων ἀδελφὸς ἐν αἰτίᾳ γένηται, τἄλλα μὲν ὑπουργεῖν
erring brother in blame becomes the-rest indeed to-serve
γονεῦσι καὶ φέρειν ὀργήν τε πᾶσαν αὐτῶν καὶ δυσχέρειαν
parents and to-bear anger both all of-them and peevishness
ἐπιεικές· αἱ δ' ὑπὲρ ἀδελφοῦ παρ' ἀξίαν κακῶς ἀκούοντος
reasonable the but for brother contrary-to desert badly being-spoken-of
ἢ πάσχοντος ἀντιδικίαι καὶ δικαιολογίαι πρὸς αὐτοὺς
or suffering pleadings and justifications toward them
ἄμεμπτοι καὶ καλαί· καὶ οὐ φοβητέον ἀκοῦσαι τὸ Σοφόκλειον
blameless and fine and not one-must-fear to-hear the Sophoclean

'ὦ παῖ κάκιστε, διὰ δίκης ἰὼν πατρί,'
O boy most-wicked through lawsuit going with-father

παρρησιαζόμενον ὑπὲρ ἀδελφοῦ δοκοῦντος ἀγνωμονεῖσθαι·
being-frank for brother seeming to-be-wronged
καὶ γὰρ αὐτοῖς ἡ τοιαύτη δίκη τοῖς ἐλεγχομένοις ποιεῖ
and for for-them the such lawsuit for-the being-refuted makes
τὴν ἧτταν ἡδίω τῆς νίκης.
the defeat sweeter than-the victory
11 ἀποθανόντος γε μὴν πατρὸς ἐμφύεσθαι μᾶλλον ἢ
having-died at-least indeed father to-cling more than
πρότερον ὀρθῶς ἔχει τῇ εὐνοίᾳ τοὺς ἀδελφούς, εὐθὺς
before rightly is to-the goodwill the brothers at-once
μὲν ἐν τῷ συνδακρύειν καὶ συνάχθεσθαι κοινουμένους
indeed in the weeping-together and grieving-together sharing
τὸ φιλόστοργον, ὑπονοίας δὲ θεραπόντων καὶ διαβολὰς
the affection suspicions but of-servants and slanders

ἑταίρων ἑτέροις αὐτοὺς προσνεμόντων ἀπωθουμένους,
of-comrades to-the-other themselves attaching pushing-away
καὶ πιστεύοντας τοῖς τ᾽ ἄλλοις ἃ μυθολογοῦσι περὶ
and believing the both other-things which they-tell-in-myths about
τῶν Διοσκόρων τῆς φιλαδελφίας, καὶ ὅτι ὁ Πολυδεύκης
the Dioscuri of-the brotherly-love and that — Polydeuces
τὸν καταψιθυρίζοντα τἀδελφοῦ πρὸς αὐτὸν κονδύλῳ
the(-one) whispering-against the-brother to him with-fist
παίσας ἀπέκτεινεν. ἐπὶ δὲ τὴν νέμησιν τῶν πατρῴων,
having-struck killed to and the distribution of-the paternal-goods
μὴ καταγγείλαντας ἀλλήλοις πόλεμον ὥσπερ οἱ πολλοὶ
not having-declared to-one-another war as the many

‘κλῦθ᾽, Ἀλαλὰ Πολέμου θύγατερ,’
hear Alala of-War daughter

ἐκ παρασκευῆς ἀπαντᾶν· ἀλλὰ μάλιστα δεῖ τὴν ἡμέραν
from preparation to-meet but most one-must the day
ἐκείνην φυλαττομένους, ὡς τοῖς μὲν ἔχθρας ἀνηκέστου καὶ
that guarding-against as for-the indeed of-enmity incurable and
διαφορᾶς τοῖς δὲ φιλίας καὶ ὁμονοίας οὖσαν ἀρχήν, μάλιστα
of-quarrel for-the but of-friendship and of-concord being beginning best
μὲν αὐτοὺς καθ᾽ ἑαυτούς, εἰ δὲ μή, φίλου κοινοῦ παρόντος
indeed themselves by themselves if but not friend common being-present
ἀμφοτέροις μάρτυρος εὐγνώμονος ‘δίκης κλήροις,’ ᾗ φησιν ὁ
to-both witness fair-minded of-justice with-lots as says —
Πλάτων, τὰ φίλα καὶ προσήκοντα λαμβάνοντας καὶ διδόντας
Plato the dear and fitting taking and giving
οἴεσθαι τὴν ἐπιμέλειαν νέμεσθαι καὶ τὴν οἰκονομίαν, χρῆσιν
to-think the care to-be-divided and the management use
δὲ καὶ κτῆσιν ἐν μέσῳ κεῖσθαι κοινὴν καὶ ἀνέμητον ἁπάντων.
but and possession in middle to-lie common and undivided of-all

οἱ δὲ καὶ τίτθας ἀποσπῶντες ἀλλήλων καὶ συντρόφους
the and even nurses dragging-away from-one-another and fellow-nurslings
καὶ συνήθεις παῖδας ὑπερβαλλόμενοι τοῖς διωγμοῖς, ἀπίασιν
and familiar slaves outbidding in-the pursuits go-away
ἀνδραπόδου τιμὴν πλέον ἔχοντες, τὸ δὲ μέγιστον καὶ
of-a-slave price more having the and greatest and
τιμιώτατον τῶν πατρῴων, φιλίαν ἀδελφοῦ καὶ πίστιν,
most-precious of-the paternal-goods friendship of-brother and trust
ἀπολωλεκότες. ἐνίους δὲ καὶ ἀκερδῶς φιλονεικίας ἕνεκα
having-lost some and also without-gain of-rivalry for-the-sake
χρησαμένους τοῖς πατρῴοις οὐδὲν ἐπιεικέστερον ἢ λαφύροις
having-used the paternal-goods nothing more-reasonably than spoils
ἴσμεν. ὧν καὶ Χαρικλῆς καὶ Ἀντίοχος ἦσαν οἱ Ὀπούντιοι·
we-know of-whom also Charicles and Antiochus were the Opuntians
καὶ γὰρ ἔκπωμα διακόψαντες ἀργυροῦν καὶ ἱμάτιον
and for cup having-cut-up silver and cloak
διατεμόντες ἀπῄεσαν, ὥσπερ ἐκ τραγικῆς τινος κατάρας
having-cut-apart went-away as-if from tragic some curse

‘θηκτῷ σιδήρῳ δῶμα διαλαχόντες.’
with-sharpened iron house having-divided-by-lot

οἱ δὲ καὶ διηγοῦνται πρὸς ἑτέρους γαυριῶντες, ὅτι τῶν
the and also tell to others boasting that than-the
ἀδελφῶν πανουργίᾳ καὶ δριμύτητι καὶ παραλογισμῷ πλέον
brothers by-knavery and sharpness and false-reckoning more
ἔσχον ἐν τῷ νέμεσθαι, δέον ἀγάλλεσθαι καὶ μέγα
had in the distributing it-being-right to-glory and great
φρονεῖν ἐπιεικείᾳ καὶ χάριτι καὶ ὑπείξει περιγενομένους. ὅθεν
to-think in-fairness and grace and yielding having-prevailed whence
ἄξιον Ἀθηνοδώρου μεμνῆσθαι, καὶ μέμνηταί γε πάντες
worth Athenodorus to-remember and remember indeed all

παρ᾽ ἡμῖν. ἦν γὰρ ἀδελφὸς πρεσβύτερος αὐτῷ ὄνομα
among us there-was for brother elder to-him name
Ξένων, καὶ πολλὰ τῆς οὐσίας ἐπιτροπεύων διεφόρησε·
Xenon and much of-the property being-guardian squandered
τέλος δ᾽ ἁρπάσας γυναῖκα καὶ καταδικασθεὶς ἀπώλεσε
finally and having-carried-off woman and having-been-condemned lost
τὴν οὐσίαν, εἰς τὸ Καίσαρος ταμεῖον ἀναληφθεῖσαν. ὁ
the property to the of-Caesar treasury taken-up —
δ᾽ Ἀθηνόδωρος ἦν μὲν ἔτι μειράκιον οὐδέπω γενειῶν·
and Athenodorus was indeed still youth not-yet bearded
ἀποδοθέντος δὲ τοῦ μέρους αὐτῷ τῶν χρημάτων, οὐ περιεῖδε
handed-over and the share to-him of-the money not overlooked
τὸν ἀδελφὸν ἀλλ᾽ εἰς μέσον ἅπαντα καταθεὶς ἐνείματο, καὶ
the brother but into middle all having-put divided and
πολλὰ περὶ τὴν νέμησιν ἀγνωμονούμενος οὐκ ἠγανάκτησεν
much about the distribution being-treated-unfairly not was-indignant
οὐδὲ μετενόησεν, ἀλλὰ πράως καὶ ἱλαρῶς ἤνεγκε τἀδελφοῦ
nor repented but mildly and cheerfully bore of-the-brother
τὴν ἄνοιαν, περιβόητον ἐν τῇ Ἑλλάδι γενομένην.
the folly notorious in — Greece having-become
ὁ μὲν οὖν Σόλων ἀποφηνάμενος περὶ πολιτείας, ὡς 12
— indeed then Solon having-declared about constitution that
ἰσότης στάσιν οὐ ποιεῖ, λίαν ἔδοξεν ὀχλικός, ἀριθμητικὴν
equality faction not makes very seemed vulgar arithmetical
καὶ δημοκρατικὴν ἐπεισάγων ἀναλογίαν ἀντὶ τῆς καλῆς
and democratic bringing-in proportion instead-of the fine
γεωμετρικῆς· ὁ δ᾽ ἐν οἰκίᾳ παραινῶν ἀδελφοῖς μάλιστα
geometrical the(-one) but in house advising brothers best
μὲν ὡς ὁ Πλάτων παρῄνει τοῖς πολίταις, ‘τὸ ἐμόν’
indeed as — Plato advised the citizens the mine
ἐξαιρεῖν ‘καὶ τὸ οὐκ ἐμόν,’ εἰ δὲ μή, τὴν ἴσην ἀγαπᾶν
to-remove and the not mine if but not the equal to-love

καὶ τῆς ἴσης περιέχεσθαι, καλὴν κρηπῖδα καὶ μόνιμον
and the equal to-cling-to fine foundation and lasting
ὁμονοίας καὶ εἰρήνης καταβαλλόμενός ἐστι. χρήσθω δὲ καὶ
of-concord and of-peace laying is let-him-use and also
παραδείγμασιν ἐνδόξοις οἷόν ἐστι, καὶ τὸ τοῦ Πιττακοῦ
examples famous such-as is also the — of-Pittacus
πρὸς τὸν βασιλέα Λυδῶν πυνθανόμενον εἰ χρήματ' ἔστιν
to the king of-Lydians inquiring if money there-is
αὐτῷ, 'διπλάσι" εἶπεν "ἢ ἐβουλόμην, τἀδελφοῦ τεθνηκότος.'
to-him double he-said than I-wished the-brother having-died
ἐπεὶ δ' οὐ μόνον ἐν χρημάτων κτήσει καὶ μειώσει τῷ
since and not only in of-money acquisition and diminution to-the
πλείονι πολέμιον καθίσταται τοὔλασσον ἀλλ' ἁπλῶς, ᾗ
greater hostile is-made the-lesser but simply as
φησιν ὁ Πλάτων ἐν μὲν ἀνωμαλίᾳ κίνησιν ἐν δ' ὁμαλότητι
says — Plato in indeed unevenness motion in but evenness
στάσιν ἐγγίγνεσθαι καὶ μονήν, οὕτω πᾶσα μὲν ἀνισότης
rest to-arise and permanence so every indeed inequality
ἐπισφαλής ἐστι πρὸς διαφορὰν ἀδελφῶν, ἐν πᾶσι δ' ἴσους
hazardous is toward quarrel of-brothers in all and equal
γενέσθαι καὶ ὁμαλοὺς ἀδύνατον· τὰ μὲν γὰρ αἱ φύσεις
to-become and even impossible the(-ones) indeed for the natures
εὐθὺς ἀνίσως νέμουσι, τὰ δ' ὕστερον αἱ τύχαι φθόνους
at-once unequally distribute the(-others) but later the fortunes envies
ἐμποιοῦσαι καὶ ζηλοτυπίας, αἴσχιστα νοσήματα καὶ κῆρας
producing and jealousies most-shameful diseases and dooms
οὐκ οἰκίαις μόνον ἀλλὰ καὶ πόλεσιν ὀλεθρίους· δεῖ καὶ
not to-houses only but also to-cities destructive one-must also
ταῦτα φυλάττεσθαι καὶ θεραπεύειν, ἂν ἐγγένηται.
these-things to-guard-against and to-treat if they-arise

τῷ μὲν οὖν ὑπερέχοντι παραινέσειεν ἄν τις, πρῶτον μὲν
to-the indeed then excelling would-advise — anyone first indeed
οἷς δοκεῖ διαφέρειν, ταῦτα κοινὰ ποιεῖν τοῖς ἀδελφοῖς,
in-what-things he-seems to-surpass these common to-make for-the brothers
συνεπικοσμοῦντα τῇ δόξῃ καὶ συνεισποιοῦντα ταῖς
adorning-them-with the reputation and bringing-them-into the
φιλίαις· κἂν λέγειν δεινότερος ᾖ, χρῆσθαι παρέχοντα τὴν
friendships and-if to-speak cleverer he-be to-use offering the
δύναμιν, ὡς ἐκείνου μηδὲν ἧττον οὖσαν· ἔπειτα μήτ' ὄγκον
power as of-that-one nothing less being then neither pomp
ἐμφαίνειν τινὰ μήθ' ὑπεροψίαν, ἀλλὰ μᾶλλον ἐνδιδόντα
to-show any nor arrogance but rather giving-way
καὶ συγκαθιέντα τῷ ἤθει τὴν ὑπεροχὴν ἀνεπίφθονον
and lowering in-the character the superiority unenvied
ποιεῖν, καὶ τὴν τῆς τύχης ἀνωμαλίαν ἐπανισοῦν, ὡς
to-make and the of-the fortune unevenness to-equalize as
ἀνυστόν ἐστι, τῇ μετριότητι τοῦ φρονήματος. ὁ γοῦν
possible is by-the moderation of-the spirit — at-any-rate
Λεύκολλος οὐκ ἠξίωσε πρότερος τἀδελφοῦ τὴν ἀρχὴν
Lucullus not thought-it-right earlier than-the-brother the office
λαβεῖν πρεσβύτερος ὤν, ἀλλὰ τὸν αὑτοῦ παρεὶς καιρὸν
to-take older being but the his-own letting-pass occasion
τὸν ἐκείνου περιέμεινεν. ὁ δὲ Πολυδεύκης οὐδὲ θεὸς
the of-that-one waited-for — and Polydeuces not-even god
ἠθέλησε μόνος ἀλλὰ μᾶλλον ἡμίθεος σὺν τἀδελφῷ
wished alone but rather demigod with the-brother
γενέσθαι καὶ τῆς θνητῶν μερίδος μετασχεῖν ἐπὶ τῷ
to-become and of-the of-mortals portion to-share on-condition the
μεταδοῦναι τῆς ἀθανασίας ἐκείνῳ. σοὶ δέ, φαίη τις
to-give-a-share of-the immortality to-that-one to-you but would-say anyone
ἄν, ὦ μακάριε, μηδὲν ἐλαττοῦντι τῶν προσόντων ἀγαθῶν
— O blessed-one nothing lessening of-the present goods

ὑπάρχει συνεξομοιοῦν καὶ συνεπικοσμεῖν τὸν ἀδελφόν,
it-is-possible to-make-like and to-adorn-with the brother
ὥσπερ αὐγῆς ἀπολαύοντα τῆς περὶ σὲ δόξης ἢ ἀρετῆς
as-if of-light enjoying the around you of-reputation or of-virtue
ἢ εὐτυχίας· ὥσπερ Πλάτων τοὺς ἀδελφοὺς εἰς τὰ
or of-good-fortune as Plato the brothers into the
κάλλιστα τῶν αὑτοῦ συγγραμμάτων θέμενος ὀνομαστοὺς
finest of-the his-own writings having-placed famous
ἐποίησε, Γλαύκωνα μὲν καὶ Ἀδείμαντον εἰς τὴν Πολιτείαν,
made Glaucon indeed and Adeimantus into the Republic
Ἀντιφῶντα δὲ τὸν νεώτατον εἰς τὸν Παρμενίδην.
Antiphon and the youngest into the Parmenides
13 ἔτι τοίνυν ὥσπερ ἐγγίγνονται ταῖς φύσεσι καὶ ταῖς τύχαις
further then as arise in-the natures and in-the fortunes
τῶν ἀδελφῶν ἀνισότητες, οὕτως ἐν πᾶσι καὶ πάντως
of-the brothers inequalities so in all and entirely
ὑπερέχειν τὸν ἕτερον ἀδύνατόν ἐστι. τὰ μὲν γὰρ στοιχεῖά
to-excel the one impossible is the indeed for elements
φασιν ἐκ μιᾶς ὕλης γεγονέναι, τὰς ἐναντιωτάτας ἔχοντα
they-say from one matter to-have-come-to-be the most-opposite having
δυνάμεις· δυεῖν δ' ἀδελφῶν ἐκ μιᾶς μητρὸς καὶ πατρὸς
powers of-two but brothers from one mother and father
ταὐτοῦ γεγονότων, οὐδεὶς ἑώρακε τὸν μὲν ὡς τὸν ἐκ
the-same having-been-born no-one has-seen the(-one) indeed as the from
τῆς Στοᾶς σοφόν, ὁμοῦ καλὸν εὔχαριν ἐλευθέριον ἔντιμον
— Stoa wise-man at-once handsome graceful liberal honored
πλούσιον δεινὸν εἰπεῖν πολυμαθῆ φιλάνθρωπον· τὸν δ'
rich clever to-speak learned humane the but
ἕτερον αἰσχρὸν ἄχαριν ἀνελεύθερον ἄτιμον ἄπορον ἀσθενῆ
other ugly graceless illiberal dishonored resourceless weak
περὶ λόγον ἀμαθῆ μισάνθρωπον· ἀλλ' ἔνεστιν ἁμωσγέπως
in speech ignorant misanthropic but there-is somehow

καὶ τοῖς ἀδοξοτέροις καὶ ταπεινοτέροις μοῖρά τις χάριτος
even in-the less-famous and humbler share some of-grace
ἢ δυνάμεως ἢ πρός τι καλὸν εὐφυΐας,
or of-power or for something fine of-aptitude

‘ὡς ἀν’ ἐχινόποδας καὶ ἀνὰ τρηχεῖαν ὄνωνιν
as among spiny-shrubs and among rough rest-harrow
φύονται μαλακῶν ἄνθεα λευκοΐων.’
grow of-soft flowers stocks

ταῦτα τοίνυν ὁ δοκῶν πλέον ἔχειν ἐν ἄλλοις, ἂν μὴ
these-things then the(-one) seeming more to-have in other-things if not
κολούῃ μηδ’ ἐπικρύπτῃ μηδὲ πάντων ὥσπερ ἐν ἀγῶνι τὸν
he-cuts-down nor hides nor from-all as in contest the
ἀδελφὸν ἐξωθῇ τῶν πρωτείων, ἀλλ’ ἀνθυπείκῃ καὶ ἀποφαίνῃ
brother pushes-out of-the first-prizes but yields-in-turn and shows
πρὸς πολλὰ βελτίω καὶ χρησιμώτερον ἐκεῖνον, ὑφαιρῶν
for many-things better and more-useful him taking-away
ἀεὶ τοῦ φθόνου τὴν πρόφασιν ὥσπερ ὕλην τοῦ πυρὸς
always of-the envy the pretext as-if fuel of-the fire
ἀποσβέσει, μᾶλλον δ’ ὅλως οὐκ ἐάσει λαβεῖν γένεσιν οὐδὲ
he-will-quench rather and wholly not will-allow to-take origin nor
σύστασιν. ὁ δὲ καὶ συνεργόν, ἐν οἷς δοκεῖ κρείττων
formation the(-one) and also fellow-worker in what-things he-seems better
αὐτὸς εἶναι, ποιούμενος τὸν ἀδελφὸν ἀεὶ καὶ σύμβουλον,
himself to-be making the brother always and counselor
οἷον ἐν δίκαις ῥητορικὸς ὤν, ἐν ἀρχαῖς πολιτευόμενος, ἐν
as in lawsuits rhetorical being in offices being-a-statesman in
πράξεσι φιλικαῖς· συνελόντι δ’ εἰπεῖν, μηδενὸς ἀξιολόγου
affairs friendly in-sum and to-say of-nothing noteworthy
καὶ τιμὴν φέροντος ἔργου περιορῶν ἀπολειπόμενον, ἀλλὰ
and honor bringing work overlooking him-left-out but

τῶν καλῶν πάντων κοινωνὸν ἀποφαίνων καὶ χρώμενος
of-the fine-things all sharer showing and using
παρόντι καὶ περιμένων ἀπόντα, καὶ ὅλως συνεμφαίνων
him-present and awaiting him-absent and wholly showing-forth
ὅτι πρακτικὸς μὲν οὐχ ἧττον αὐτοῦ παραχωρητικὸς
that active indeed not less than-himself ready-to-yield
δὲ μᾶλλόν ἐστι δόξης καὶ δυνάμεως, οὐδὲν ἑαυτοῦ
but more is of-reputation and power nothing of-himself
παραιρούμενος ἐκείνῳ μεγάλα προστίθησι.
taking-away to-that-one great-things he-adds

14 τῷ μὲν οὖν ὑπερέχοντι τοιαῦτά τις ἂν παραινέσειε·
to-the indeed then excelling such-things anyone — would-advise
τῷ δὲ λειπομένῳ πάλιν ἐνθυμητέον, ὡς οὐχ εἷς οὐδὲ
to-the but falling-short in-turn one-must-consider that not one nor
μόνος αὐτοῦ πλουσιώτερος ἢ λογιώτερος ἢ λαμπρότερος
only than-him richer or more-eloquent or more-brilliant
εἰς δόξαν ὁ ἀδελφός ἐστιν, ἀλλὰ πολλάκις πολλῶν
in reputation the brother is but often of-many
ἀπολείπεται καὶ μυριάκις μυρίων
falls-short and ten-thousand-times of-ten-thousand

‘εὐρυεδοῦς ὅσοι καρπὸν αἰνύμεθα χθονός.’
of-the-wide-seated as-many-as fruit we-take earth

εἴτε δὲ πᾶσι περινοστεῖ φθονῶν εἴτε μόνος αὐτὸν ἐν
whether but all goes-about envying or alone him among
τοσούτοις εὐτυχοῦσιν ὁ φίλτατος ἀνιᾷ καὶ ὁ συγγενέστατος,
so-many prospering the dearest grieves and the most-kindred
ὑπερβολὴν ἑτέρῳ κακοδαιμονίας οὐ λέλοιπεν. ὡς οὖν ὁ
excess to-another of-misery not has-left as then —
Μέτελλος ᾤετο δεῖν Ῥωμαίους τοῖς θεοῖς χάριν ἔχειν, ὅτι
Metellus thought must Romans to-the gods thanks to-have that

Σκιπίων ἐν ἑτέρᾳ πόλει τοιοῦτος ὢν οὐκ ἐγεννήθη· οὕτως
Scipio in another city such being not was-born so
ἕκαστος εὐχέσθω μάλιστα μὲν αὐτὸς εὐπραξίᾳ διαφέρειν, εἰ
each-one let-him-pray best indeed himself in-success to-surpass if
δὲ μή, τὸν ἀδελφὸν αὐτοῦ τὴν ζηλουμένην ἔχειν ὑπεροχὴν
but not the brother his the envied to-have superiority
καὶ δύναμιν. οἱ δ' οὕτω πεφύκασιν ἀτυχεῖς πρὸς τὸ
and power the(-ones) and so are-by-nature unfortunate toward the
καλόν, ὥστε φίλοις μὲν ἐνδόξοις ἀγάλλεσθαι καὶ μέγα
fine so-that in-friends indeed famous to-glory and great
φρονεῖν ἂν ξένους ἡγεμονικοὺς καὶ πλουσίους ἔχωσι, τὰς
to-think if strangers in-command and rich they-have the
δὲ τῶν ἀδελφῶν λαμπρότητας αὑτῶν ἀμαυρώσεις νομίζειν·
but of-the brothers brilliances their-own obscurings to-think
καὶ πατέρων μὲν εὐτυχίαις ἐπαίρεσθαι καὶ στρατηγίαις
and of-fathers indeed in-good-fortunes to-be-elated and in-generalships
προπάππων λεγομέναις, ὧν οὐδὲν ἀπέλαυσαν οὐδὲ
of-great-grandfathers spoken-of of-which nothing they-enjoyed nor
μετέσχον, ἀδελφῶν δὲ κληρονομίαις καὶ ἀρχαῖς καὶ γάμοις
shared of-brothers but at-inheritances and offices and marriages
ἐνδόξοις ἀθυμεῖν καὶ ταπεινοῦσθαι. καίτοι μάλιστα μὲν
famous to-be-dejected and to-be-humbled and-yet best indeed
ἔδει μηδ' ἄλλῳ φθονεῖν, εἰ δὲ μή, τρέπειν ἔξω καὶ
one-ought not-even another to-envy if but not to-turn outside and
πρὸς ἑτέρους ἀποχετεύειν τὸ βάσκανον, ὥσπερ οἱ τὰς
toward others to-divert the envious-spirit as those the
στάσεις θύραζε τοῖς πολεμίοις περιστάντες.
factions out-of-doors to-the enemies turning-round

‘πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες κλειτοί τ’ ἐπίκουροι·
many indeed for for-me Trojans famous and allies
πολλοὶ δ’ αὖ σοὶ Ἀχαιοί’
many and again for-you Achaeans

φθονεῖν πεφύκασι καὶ ζηλοτυπεῖν.
to-envy are-by-nature and to-be-jealous

IV · INEQUALITY, AGE, AND RIVALRY

The lesser brother should not sink as the other rises but grow with him, as unequal fingers work together, and brothers should seek honor in different fields, since men in different careers, like the orator Demosthenes and the general Chares, help rather than envy each other. Kinsmen and wives who stir envy are to be resisted. The elder should guide as a comrade, the younger imitate rather than rival him, as Cato deferred to his elder brother Caepio and Epicurus’ brothers to him. Brothers close in age must stop small quarrels early, settle disputes before the sun sets, as the Pythagoreans did, and never let a quarrel outlast the matter that caused it.

15 ἀδελφῷ δὲ χρὴ μὴ καθάπερ πλάστιγγα ῥέπειν ἐπὶ
with-brother but one-must not as balance-pan to-incline to
τοὐναντίον, ὑψουμένου ταπεινούμενον αὐτόν, ἀλλ’ ὥσπερ τῶν
the-opposite when-he-is-raised being-lowered himself but as of-the
ἀριθμῶν οἱ ἐλάττονες τοὺς μείζονας πολλαπλασιάζοντες καὶ
numbers the lesser the greater multiplying and
πολλαπλασιαζόμενοι συναύξειν ἅμα καὶ συναύξεσθαι
being-multiplied to-increase-together at-once and to-be-increased-together
τοῖς ἀγαθοῖς. οὐδὲ γὰρ τῶν δακτύλων ἔλαττον ἔχει
with-the goods nor for of-the fingers less has
τοῦ γράφοντος ἢ ψάλλοντος ὁ μὴ δυνάμενος τοῦτο
than-the writing or harping the(-one) not able this

ποιεῖν μηδὲ πεφυκώς, ἀλλὰ συγκινοῦνται καὶ συνεργοῦσιν
to-do nor born-to but move-together and cooperate
ἅπαντες ἀμωσγέπως ἀλλήλοις, ὥσπερ ἐπίτηδες ἄνισοι
all somehow with-one-another as-if on-purpose unequal
γεγονότες καὶ τὸ συλληπτικὸν ἐξ ἀντιθέσεως πρὸς τὸν
having-been-made and the grasping from opposition toward the
μέγιστον καὶ ῥωμαλεώτατον ἔχοντες. οὕτω καὶ Κρατερὸς
greatest and strongest having so also Craterus
Ἀντιγόνου βασιλεύοντος ἀδελφὸς ὢν καὶ Κασάνδρου
while-Antigonus was-king brother being and of-Cassander
Περίλαος ἐπὶ τὸ στρατηγεῖν καὶ οἰκουρεῖν ἔταττον αὑτούς·
Perilaus to the to-be-general and to-keep-house assigned themselves
Ἀντίοχοι δὲ καὶ Σέλευκοι καὶ πάλιν Γρυποὶ καὶ Κυζικηνοὶ
Antiochi but and Seleuci and again Grypi and Cyziceni
τὰ δεύτερα φέρειν οὐ μαθόντες ἀδελφοῖς ἀλλὰ πορφύρας
the second-place to-take not having-learned to-brothers but purple
καὶ διαδήματος ὀρεγόμενοι, πολλῶν μὲν αὑτοὺς κακῶν
and diadem grasping-at with-many indeed themselves evils
καὶ ἀλλήλους πολλῶν δὲ τὴν Ἀσίαν ἐνέπλησαν. ἐπεὶ δὲ
and one-another with-many and — Asia filled since and
τοῖς φιλοτίμοις μάλιστα τῶν ἠθῶν ἐμφύονται φθόνοι
in-the ambitious most of-the characters grow envies
καὶ ζηλοτυπίαι πρὸς τοὺς πλέον ἔχοντας ἐν δόξῃ καὶ
and jealousies toward the more having in reputation and
τιμῇ, χρησιμώτατόν ἐστι πρὸς τοῦτο τοῖς ἀδελφοῖς τὸ
honor most-useful is for this for-the brothers the
μὴ κτᾶσθαι μήτε τὰς τιμὰς μήτε τὰς δυνάμεις ἀπὸ τῶν
not to-acquire either the honors or the powers from the
αὐτῶν, ἀλλ᾽ ἕτερον ἀφ᾽ ἑτέρου.
same but one from another

καὶ γὰρ τῶν θηρίων πόλεμός ἐστι πρὸς ἄλληλα τοῖς ἀπὸ τῶν
and for of-the beasts war is against one-another for-the from the
αὐτῶν τρεφομένοις, καὶ τῶν ἀθλητῶν οἱ πρὸς ἓν ἄθλημα
same-things feeding and of-the athletes the for one contest
κάμνοντες ἀνταγωνισταί· πύκται δὲ παγκρατιασταῖς φίλιοι
toiling rivals boxers but to-pancratiasts friendly
καὶ δολιχοδρόμοι παλαισταῖς εὐμενεῖς εἰσι καὶ συναγωνιῶσι
and long-distance-runners to-wrestlers well-disposed are and share-the-struggle
καὶ σπουδάζουσιν ὑπὲρ ἀλλήλων· διὸ καὶ τῶν Τυνδαριδῶν
and are-zealous for one-another therefore also of-the Tyndaridae
πὺξ μὲν ὁ Πολυδεύκης ἐνίκα δρόμῳ δ' ὁ Κάστωρ.
with-the-fist indeed — Polydeuces won in-running and — Castor
εὖ δὲ καὶ τὸν Τεῦκρον Ὅμηρος πεποίηκεν ἀπὸ τῆς τοξικῆς
well and also — Teucer Homer has-made from the archery
εὐδοκιμοῦντα, τἀδελφοῦ πρωτεύοντος ἐν τοῖς ὁπλίταις·
winning-fame his-brother being-first among the hoplites

'ὁ δέ μιν σάκεϊ κρύπτασκε φαεινῷ.'
he and him with-shield used-to-hide shining

καὶ τῶν πολιτευομένων οἱ στρατηγοῦντες τοῖς δημαγωγοῦσιν
and of-the politicians the being-generals the courting-the-people
οὐ πάνυ φθονοῦσιν, οὐδέ γε τῶν ῥητόρων οἱ δικολόγοι
not at-all envy nor at-least of-the orators the pleaders
τοῖς σοφιστεύουσιν οὐδὲ τῶν ἰατρῶν οἱ περὶ δίαιταν
the sophists nor of-the physicians the about diet
τοῖς χειρουργοῖς ἀλλὰ καὶ συμπαραλαμβάνουσι καὶ
the surgeons but also call-in-together and
συνεπιμαρτυροῦσι. τὸ δ' ἀπὸ τῆς αὐτῆς τέχνης ἢ
bear-witness-together the but from the same art or
δυνάμεως ζητεῖν ἔνδοξον εἶναι καὶ περίβλεπτον οὐδὲν
power to-seek famous to-be and admired nothing

ἐν φαύλοις διαφέρει τοῦ μιᾶς ἐρῶντας ἀμφοτέρους
among base-men differs from-the one being-in-love-with both
βούλεσθαι πλέον ἔχειν καὶ μᾶλλον εὐδοκιμεῖν τοῦ ἑτέρου
to-wish more to-have and more to-be-esteemed than-the other
τὸν ἕτερον. οἱ μὲν οὖν καθ᾽ ἑτέρας ὁδοὺς βαδίζοντες οὐδὲν
the other the indeed then along different roads walking nothing
ἀλλήλους ὠφελοῦσιν, οἱ δὲ βίοις χρώμενοι διαφόροις τόν τε
one-another help the but lives using different the both
φθόνον ἐκτρέπονται καὶ συνεργοῦσιν ἀλλήλοις μᾶλλον, ὡς
envy turn-aside and cooperate with-one-another more as
Δημοσθένης καὶ Χάρης καὶ πάλιν Αἰσχίνης καὶ Εὔβουλος
Demosthenes and Chares and again Aeschines and Eubulus
καὶ Ὑπερείδης καὶ Λεωσθένης, οἱ μὲν λέγοντες
and Hypereides and Leosthenes the(-ones) indeed speaking
ἐν τῷ δήμῳ καὶ γράφοντες οἱ δὲ στρατηγοῦντες
in the people and writing-decrees the(-others) and being-generals
καὶ πράττοντες· ὅθεν ἀπωτάτω δεῖ ταῖς ἐπιθυμίαις
and acting whence farthest-apart one-must in-the desires
τρέπεσθαι καὶ ταῖς φιλοτιμίαις τῶν ἀδελφῶν τοὺς ἀφθόνως
to-turn and in-the ambitions of-the brothers the ungrudgingly
δόξης καὶ δυνάμεως κοινωνεῖν μὴ πεφυκότας, ὅπως
of-reputation and power to-share not born-to so-that
εὐφραίνωσιν εὐημεροῦντες ἀλλήλους ἀλλὰ μὴ λυπῶσι.
they-may-gladden prospering one-another but not grieve
παρὰ πάντα δὲ ταῦτα φυλακτέον ἐστὶ κηδεστῶν 16
beyond all and these-things one-must-guard-against is of-kinsmen-by-marriage
καὶ οἰκείων καὶ γυναικὸς ἔστιν ὅτε τῇ φιλοδοξίᾳ
and relatives and of-wife there-is when to-the love-of-glory
συνεπιτιθεμένης λόγους πονηρούς, ‘ὁ ἀδελφὸς ἄγει καὶ
joining-attack words wicked the brother leads and
φέρει πάντα καὶ θαυμάζεται καὶ θεραπεύεται, σοὶ δ᾽ οὐδεὶς
carries all and is-admired and is-courted to-you but nobody

πρόσεισιν οὐδ' ἔχεις σεμνὸν οὐδέν.' 'ἔχω μὲν οὖν' ἂν φαίη
approaches nor you-have dignified anything I-have indeed then — would-say
τις εὖ φρονῶν 'ἀδελφὸν εὐδοκιμοῦντα καὶ μέτεστί μοι
anyone well thinking brother esteemed and there-is-a-share to-me
τῆς ἐκείνου δυνάμεως τὸ πλεῖστον.' ὁ μὲν γὰρ Σωκράτης
of-the of-that-one power the most — indeed for Socrates
ἔλεγε βούλεσθαι Δαρεῖον ἔχειν μᾶλλον φίλον ἢ τὸ
said to-wish Darius to-have rather friend than the
δαρεικόν, ἀδελφῷ δὲ νοῦν ἔχοντι καὶ πλούτου καὶ ἀρχῆς
daric to-brother but sense having also than-wealth and than-office
καὶ λογιότητος οὐκ ἔλαττον ἀγαθόν ἐστιν ἄρχων ἀδελφὸς
and than-eloquence not less good is ruling brother
ἢ πλουτῶν ἢ λόγου δυνάμει προήκων εἰς δόξαν. ἀλλὰ
or being-rich or of-speech in-power advanced to reputation but
ταύτας μὲν οὕτω μάλιστα τὰς ἀνωμαλίας παρηγορητέον·
these indeed so best the inequalities one-must-soothe
ἕτεραι δ' εὐθὺς ἐγγίγνονται διαφοραὶ περὶ τὰς ἡλικίας
others but at-once arise differences about the ages
ἀπαιδεύτοις ἀδελφοῖς. ἐπιεικῶς γὰρ οἵ τε πρεσβύτεροι
for-uneducated brothers generally for the both elder
τῶν νεωτέρων ἄρχειν ἀξιοῦντες ἀεὶ καὶ προϊστασθαι
the younger to-rule claiming always and to-preside
καὶ πλέον ἔχειν ἐν παντὶ δόξης καὶ δυνάμεως βαρεῖς
and more to-have in everything of-reputation and of-power oppressive
εἰσι καὶ ἀηδεῖς· οἵ τε νεώτεροι πάλιν ἀφηνιάζοντες καὶ
are and unpleasant the both younger in-turn throwing-off-the-rein and
θρασυνόμενοι καταφρονεῖν καὶ ὀλιγωρεῖν ἀσκοῦσιν.
growing-bold to-despise and to-slight practice
ἐκ δὲ τούτων οἱ μὲν ὡς φθονούμενοι καὶ κολουόμενοι
from and these the(-ones) indeed as being-envied and being-curtailed
φεύγουσι καὶ δυσχεραίνουσι τὰς νουθεσίας· οἱ δ' ἀεὶ
flee and are-annoyed-at the admonitions the(-others) and always

τῆς ὑπεροχῆς γλιχόμενοι φοβοῦνται τὴν ἐκείνων αὔξησιν
the superiority clinging-to fear the of-those growth
ὡς αὑτῶν κατάλυσιν. ὥσπερ οὖν ἐπὶ τῆς χάριτος
as their-own undoing as then in-the-case-of the favor
ἀξιοῦσι μείζονα τοὺς λαμβάνοντας ἡγεῖσθαι μικροτέραν δὲ
they-claim greater the receiving to-consider smaller but
τοὺς διδόντας· οὕτως ἄν τις, τὸν χρόνον παραινῶν τῷ
the giving so — anyone the time advising to-the
μὲν πρεσβυτέρῳ μὴ μέγα νομίζειν τῷ δὲ νεωτέρῳ μὴ
indeed elder not great to-consider to-the but younger not
μικρόν, ὑπεροψίας καὶ ἀμελείας καὶ τοῦ καταφρονεῖσθαι
small of-arrogance and neglect and of-the being-despised
καὶ καταφρονεῖν ἀμφοτέρους ἀπαλλάξειεν. ἐπεὶ δὲ τῷ μὲν
and despising both would-free since and to-the indeed
πρεσβυτέρῳ τὸ κήδεσθαι καὶ καθηγεῖσθαι καὶ νουθετεῖν
elder the to-care and to-lead and to-admonish
προσῆκόν ἐστι τῷ δὲ νεωτέρῳ τὸ τιμᾶν καὶ ζηλοῦν καὶ
fitting is to-the but younger the to-honor and to-emulate and
ἀκολουθεῖν, ἡ μὲν ἐκείνου κηδεμονία τὸ ἑταιρικὸν μᾶλλον
to-follow the indeed of-that-one care the comradely rather
ἢ τὸ πατρικὸν ἐχέτω καὶ τὸ πεῖθον ἢ τὸ ἐπιτάττον
than the paternal let-it-have and the persuading than the commanding
καὶ τὸ χαῖρον ἐπὶ τοῖς κατορθώμασι καὶ κατευφημοῦν
and the rejoicing at the successes and praising
τοῦ ψέγοντος ἂν ἁμάρτῃ καὶ κολούοντος μὴ μόνον
than-the blaming if he-err and curtailing not only
προθυμότερον ἀλλὰ καὶ φιλανθρωπότερον· τῷ δὲ τοῦ
more-zealously but also more-kindly in-the but of-the
νεωτέρου ζήλῳ τὸ μιμούμενον ἐνέστω μὴ τὸ ἁμιλλώμενον.
younger emulation the imitating let-be-in not the competing

θαυμάζοντος γὰρ ἡ μίμησις ἡ δ' ἄμιλλα φθονοῦντός
of-one-admiring for the imitation the but rivalry of-one-envying
ἐστι. διὸ τοὺς μὲν ἐξομοιοῦσθαι βουλομένους ἀγαπῶσι
is therefore the(-ones) indeed to-be-made-like wishing they-love
τοὺς δ' ἐξισοῦσθαι πιέζουσι καὶ χαλέπτουσιν. ἐν
the(-others) and to-be-made-equal they-press and are-harsh-to in
πολλαῖς δὲ τιμαῖς ἃς πρέπει παρὰ τῶν νέων ἀποδίδοσθαι
many and honors which befits from the young to-be-rendered
τοῖς πρεσβυτέροις, τὸ πειθαρχεῖν εὐδοκιμεῖ μάλιστα καὶ
to-the elder the to-obey is-esteemed most and
κατεργάζεται μετ' αἰδοῦς εὔνοιαν ἰσχυρὰν καὶ χάριν
produces with respect goodwill strong and favor
ἀνθυπείκουσαν. ᾗ καὶ Κάτων τὸν Καιπίωνα πρεσβύτερον
yielding-in-return by-which also Cato — Caepio older
ὄντα θεραπεύων εὐθὺς ἐκ παίδων εὐπειθείᾳ καὶ πραότητι
being courting at-once from childhood by-obedience and gentleness
καὶ σιωπῇ, τέλος οὕτως ἐπ' ἀνδράσιν ἐχειρώσατο καὶ
and silence finally so in men subdued and
τοσαύτης ἐνέπλησεν αἰδοῦς πρὸς ἑαυτόν, ὡς μήτε πρᾶξαί
with-such-great filled respect toward himself that neither to-do
τι μήτ' εἰπεῖν ἀγνοοῦντος ἐκείνου. μνημονεύεται γοῦν,
anything nor to-say not-knowing that-one it-is-recorded at-any-rate
ὅτι μαρτυρίας ποτὲ γραμματεῖον ἐπισφραγισαμένου τοῦ
that of-testimony once tablet having-sealed —
Καιπίωνος ὁ Κάτων ὕστερος ἐπελθὼν οὐκ ἠθέλησεν
Caepio — Cato later coming-up not wished
ἐπισφραγίσασθαι· καὶ ὁ Καιπίων ἀπαιτήσας τὸ
to-seal and — Caepio having-demanded-back the
γραμματεῖον ἀφεῖλε τὴν αὑτοῦ σφραγῖδα πρὶν ἢ πυθέσθαι
tablet removed the his-own seal before than to-inquire
τί παθὼν ὁ ἀδελφὸς οὐκ ἐπίστευσεν ἀλλ' ὑπείδετο τὴν
what having-suffered the brother not trusted but suspected the

μαρτυρίαν. φαίνεται δὲ πολλὴ καὶ πρὸς Ἐπίκουρον ἡ αἰδὼς
testimony appears and great also toward Epicurus the respect
τῶν ἀδελφῶν δι᾽ εὔνοιαν αὐτοῦ καὶ κηδεμονίαν, εἴς τε
of-the brothers because-of goodwill his and care in both
τἄλλα καὶ φιλοσοφίαν τὴν ἐκείνου συνενθουσιώντων· καὶ
the-other-things and philosophy the of-that-one sharing-enthusiasm and
γὰρ εἰ διημάρτανον δόξης εὐθὺς ἐκ παίδων πεπεισμένοι καὶ
for if they-erred in-opinion at-once from childhood persuaded and
λέγοντες ὡς οὐδεὶς γέγονεν Ἐπικούρου σοφώτερος, ἄξιόν ἐστι
saying that no-one has-been than-Epicurus wiser worth is
θαυμάζειν καὶ τοῦ διαθέντος οὕτως καὶ τῶν διατεθέντων.
to-admire both the having-disposed so and the disposed
οὐ μὴν ἀλλὰ καὶ τῶν νεωτέρων φιλοσόφων Ἀπολλώνιος ὁ
not indeed but also of-the more-recent philosophers Apollonius the
περιπατητικὸς ἤλεγξε τὸν εἰπόντα δόξαν ἀκοινώνητον εἶναι,
Peripatetic refuted the having-said reputation unshareable to-be
Σωτίωνα νεώτερον ἀδελφὸν αὑτοῦ ποιήσας ἐνδοξότερον.
Sotion younger brother his-own having-made more-famous
ἐμοὶ μὲν γὰρ ὅτι πολλῶν ἀξίων χάριτος παρὰ τῆς τύχης
to-me indeed for that of-many worthy of-gratitude from the fortune
γεγονότων, ἡ Τίμωνος εὔνοια τἀδελφοῦ πρὸς ἅπαντα
having-been the of-Timon goodwill of-the-brother toward all
τἄλλα καὶ γέγονε καὶ ἔστιν, οὐδεὶς ἀγνοεῖ τῶν ὁπωσοῦν
other-things both has-been and is no-one is-ignorant of-the in-any-way
ἐντετυχηκότων ἡμῖν, ἥκιστα δ᾽ οἱ συνήθεις ὑμεῖς.
having-met us least and the intimate you
ἕτερα τοίνυν ταῖς παραλλήλοις καὶ σύνεγγυς ἡλικίαις τῶν 17
other then for-the parallel and near ages of-the
ἀδελφῶν φυλακτέον ἐστὶ πάθη, μικρὰ μὲν συνεχῆ
brothers one-must-guard-against is passions small indeed continual
δὲ καὶ πολλὰ καὶ πονηρὰν ποιοῦντα τοῦ λυπεῖν καὶ
but and many and wicked making of-the to-grieve and

παροξύνειν ἑαυτοὺς ἐπὶ πᾶσι μελέτην, τελευτῶσαν εἰς
to-provoke each-other on all-things practice ending in
ἀνήκεστα μίση καὶ κακοθυμίας. ἀρξάμενοι γὰρ ἐπὶ παιδιαῖς
incurable hatreds and ill-wills having-begun for over games
διαφέρεσθαι, περὶ τροφὰς ζῴων καὶ ἀγῶνας οἷον
to-quarrel about rearings of-animals and contests such-as
ὀρτύγων ἢ ἀλεκτρυόνων, εἶτα παίδων ἐν παλαίστραις καὶ
of-quails or of-cocks then of-boys in wrestling-schools and
κυνῶν ἐν θήραις καὶ ἵππων ἐν ἁμίλλαις, οὐκέτι κρατεῖν ἐν
of-dogs in hunts and of-horses in races no-longer to-master in
τοῖς μείζοσιν οὐδὲ καταπαύειν τὸ φιλόνικον δύνανται καὶ
the greater nor to-stop the contentious are-able and
φιλότιμον. ὥσπερ Ἑλλήνων οἱ καθ' ἡμᾶς δυνατώτατοι
ambitious as of-Greeks the in-the-time-of us most-powerful
περὶ σπουδὰς ὀρχηστῶν εἶτα κιθαρῳδῶν διαναστάντες,
over zeal-for dancers then lyre-singers having-risen-up
ἐκ τούτου τὰς ἐν Αἰδηψῷ κολυμβήθρας καὶ παστάδας
from this the at Aedepsus swimming-pools and colonnades
καὶ ἀνδρῶνας ἀντιπαραβάλλοντες ἀεὶ καὶ τοπομαχοῦντες
and dining-halls comparing-against always and fighting-over-ground
καὶ ἀποκόπτοντες ὀχετοὺς καὶ ἀποστρέφοντες, οὕτως
and cutting-off channels and diverting so
ἐξηγριώθησαν καὶ διεφθάρησαν, ὥστε πάντων ἀφαιρεθέντες
were-made-savage and were-ruined so-that of-all deprived
ὑπὸ τοῦ τυράννου, καὶ φυγάδες καὶ πένητες καὶ (ὀλίγου
by the tyrant both exiles and paupers and little
δέω λέγειν) ἕτεροι τῶν πρότερον γενόμενοι, μόνῳ
I-lack to-say others than-the before having-become alone
διέμειναν οἱ αὐτοὶ τῷ μισεῖν ἀλλήλους.
remained the same in-the hating one-another

ὅθεν οὐχ ἥκιστα δεῖ περὶ τὰ μικρὰ καὶ πρῶτα
whence not least one-must over the small and first
παραδυομένῃ τῇ πρὸς τοὺς ἀδελφοὺς φιλονικίᾳ καὶ
creeping-in the toward the brothers contentiousness and
ζηλοτυπίᾳ διαμάχεσθαι, μελετῶντας ἀνθυπείκειν καὶ
jealousy to-fight practicing to-yield-in-turn and
ἡττᾶσθαι καὶ χαίρειν τῷ χαρίζεσθαι μᾶλλον αὐτοῖς
to-be-worsted and to-rejoice in-the gratifying rather them
ἢ τῷ νικᾶν. οὐ γὰρ ἑτέραν οἱ παλαιοὶ Καδμείαν
than in-the winning not for other the ancients Cadmean
νίκην ἀλλὰ τὴν περὶ Θήβας τῶν ἀδελφῶν ὡς αἰσχίστην
victory but the at Thebes of-the brothers as most-shameful
καὶ κακίστην προσηγόρευσαν. τί οὖν; οὐχὶ πολλὰς τὰ
and worst named what then not many the
πράγματα καὶ τοῖς ἐπιεικῶς ἔχειν δοκοῦσι καὶ πράως
affairs also to-those reasonably to-be-disposed seeming and mildly
φέρει προφάσεις ἀντιλογιῶν καὶ διαφορῶν; καὶ μάλα·
bear pretexts of-disputes and of-quarrels and very
ἀλλὰ κἀκεῖ φυλακτέον, ὅπως τὰ πράγματα μάχηται
but even-there one-must-guard-against that the affairs may-fight
καθ' αὑτά, μηδὲν ἐκ φιλονικίας μηδ' ὀργῆς πάθος οἷον
by themselves no from contentiousness nor anger passion like
ἄγκιστρον προστιθέντας, ἀλλ' ὥσπερ ἐπὶ ζυγοῦ τοῦ δικαίου
hook attaching but as on balance of-the just
τὴν ῥοπὴν κοινῶς ἀποθεωροῦντας, καὶ τάχιστα ταῖς
the inclination in-common observing and quickest to-the
κρίσεσι καὶ ταῖς διαίταις τὴν ἀμφιλογίαν παραδιδόντας
judgments and to-the arbitrations the dispute handing-over
ἀποκαθαίρειν, πρὶν ἐνδῦσαν ὥσπερ βαφὴν ἢ κηλῖδα
to-purge before having-sunk-in like dye or stain
δευσοποιὸν γενέσθαι καὶ δυσέκπλυτον· εἶτα μιμεῖσθαι τοὺς
indelible to-become and hard-to-wash-out then to-imitate the

Πυθαγορικούς, οἳ γένει μηδὲν προσήκοντες ἀλλὰ κοινοῦ
Pythagoreans who by-race nothing related but of-common
λόγου μετέχοντες, εἴ ποτε προαχθεῖεν εἰς λοιδορίαν ὑπ᾽
reason sharing if ever they-were-led into reviling by
ὀργῆς, πρὶν ἢ τὸν ἥλιον δῦναι, τὰς δεξιὰς ἐμβαλόντες
anger before than the sun to-set the right-hands having-thrown-into
ἀλλήλοις καὶ ἀσπασάμενοι διελύοντο. καθάπερ γὰρ ἐπὶ
to-one-another and having-embraced were-reconciled as for in-the-case-of
βουβῶνι πυρετοῦ γενομένου, δεινὸν οὐδέν ἐστιν, ἂν δὲ
swelling-in-the-groin fever having-occurred terrible nothing is if but
παυσαμένου παραμένῃ, νόσος εἶναι δοκεῖ καὶ βαθυτέραν
it-having-ceased remains disease to-be seems and deeper
ἔχειν ἀρχήν· οὕτως ἀδελφῶν ἡ μετὰ τὸ πρᾶγμα παυομένη
to-have origin so of-brothers the after the affair ceasing
διαφορὰ τοῦ πράγματός ἐστι, τῆς δ᾽ ἐπιμενούσης πρόφασις
quarrel of-the affair is of-the but remaining pretext
ἦν τὸ πρᾶγμα μοχθηράν τε καὶ ὕπουλον αἰτίαν ἔχον.
was the affair base both and festering cause having

V · EXAMPLES, FRIENDS, AND ENEMIES

Ariamenes, judged by Artabanus, yielded the Persian throne to Xerxes and died for him at Salamis; Antiochus, at war with his brother Seleucus, mourned him as dead and rejoiced when he lived. Brothers should forgive and ask forgiveness, as Eucleides answered his brother's threat; Attalus gave back crown and wife to Eumenes, and when left both at his death he reared Eumenes' son and crowned him, while Cambyses killed his brother over a dream. In quarrels they should keep to each other's friends and shun enemies, as the Cretans united against invaders. Common friends bind brothers, but a friend should never be ranked above a brother in honors, and a brother must be tended, not left to nature.

ἄξιον δὲ πυθέσθαι βαρβάρων ἀδελφῶν διαδικασίαν οὐ 18
worth and to-learn of-barbarian brothers adjudication not
περὶ γηδίου μερίδος οὐδ' ἐπ' ἀνδραπόδοις ἢ προβατίοις
about plot-of-land share nor over slaves or sheep
γενομένην ἀλλὰ περὶ τῆς Περσῶν ἡγεμονίας. Δαρείου
having-taken-place but about the of-Persians rule Darius
γὰρ ἀποθανόντος, οἱ μὲν ἠξίουν Ἀριαμένη βασιλεύειν,
for having-died the(-ones) indeed claimed Ariamenes to-be-king
πρεσβύτατον ὄντα τῆς γενεᾶς, οἱ δὲ Ξέρξην, Ἀτόσσης
eldest being of-the line the(-others) and Xerxes of-Atossa
τε μητρὸς ὄντα τῆς Κύρου θυγατρὸς ἔκ τε Δαρείου
both mother being the of-Cyrus daughter from and Darius
βασιλεύοντος ἤδη γεγενημένον. Ἀριαμένης μὲν οὖν
reigning already born Ariamenes indeed then
κατέβαινεν ἐκ Μήδων οὐ πολεμικῶς ἀλλ' ὡς ἐπὶ δίκην
came-down from Medes not in-warlike-fashion but as to trial
ἡσύχως. Ξέρξης δὲ παρὼν ἔπραττεν ἅπερ ἦν
quietly Xerxes but being-present did the-very-things-which were
βασιλεῖ προσήκοντα· ἐλθόντος δὲ τἀδελφοῦ, θεὶς τὸ
for-king fitting having-come and his-brother having-laid-aside the
διάδημα καὶ καταβαλὼν τὴν τιάραν, ἣν φοροῦσιν ὀρθὴν
diadem and having-cast-down the tiara which wear upright
οἱ βασιλεύοντες, ἀπήντησεν αὐτῷ καὶ ἠσπάσατο, καὶ δῶρα
the reigning met him and embraced and gifts
πέμπων ἐκέλευσεν εἰπεῖν τοὺς κομίζοντας 'τούτοις σε νῦν
sending ordered to-say the bringing with-these you now
τιμᾷ Ξέρξης, ὁ ἀδελφός· ἂν δὲ βασιλεὺς κρίσει καὶ ψήφῳ
honors Xerxes the brother if and king by-judgment and vote
Περσῶν ἀναγορευθῇ, δίδωσί σοι δευτέρῳ μεθ' ἑαυτὸν εἶναι.'
of-Persians he-be-proclaimed he-gives to-you second after himself to-be
καὶ ὁ Ἀριαμένης 'ἐγὼ δ" ἔφη 'τὰ μὲν δῶρα δέχομαι,
and — Ariamenes I and he-said the indeed gifts accept

βασιλείαν δὲ τὴν Περσῶν ἐμαυτῷ νομίζω προσήκειν· τιμὴν
kingship but the of-Persians to-myself I-consider to-belong honor
δὲ τὴν μετ' ἐμὲ τοῖς ἀδελφοῖς φυλάξω, Ξέρξῃ δὲ πρώτῳ τῶν
but the after me for-the brothers I-will-keep for-Xerxes and first of-the
ἀδελφῶν.' ἐπεὶ δ' ἡ κρίσις ἐνέστη, Πέρσαι μὲν Ἀρτάβανον,
brothers when and the judgment came-on Persians indeed Artabanus
ἀδελφὸν ὄντα Δαρείου, δικαστὴν ἀπέφηναν δόξαν αὐτοῖς,
brother being of-Darius judge appointed it-seeming-good to-them
Ξέρξης δ' ἔφευγεν ἐπ' ἐκείνου κριθῆναι τῷ πλήθει πεποιθώς.
Xerxes but avoided before that-one to-be-judged in-the multitude trusting
Ἄτοσσα δ' ἡ μήτηρ ἐπέπληξεν αὐτῷ, 'τί φεύγεις
Atossa but the mother rebuked him why do-you-avoid
Ἀρτάβανον, ὦ παῖ, θεῖον ὄντα καὶ Περσῶν ἄριστον; τί δ'
Artabanus O child uncle being and of-Persians best why and
οὕτω τὸν ἀγῶνα δέδοικας, ἐν ᾧ καλὰ καὶ τὰ δευτερεῖα,
so the contest do-you-fear in which fine even the second-prize
Περσῶν βασιλέως ἀδελφὸν κριθῆναι;' πεισθέντος οὖν
of-Persians of-king brother to-be-judged having-been-persuaded then
Ξέρξου καὶ γενομένων λόγων, Ἀρτάβανος μὲν ἀπεφήνατο
Xerxes and having-taken-place speeches Artabanus indeed declared
Ξέρξῃ τὴν βασιλείαν προσήκειν, Ἀριαμένης δ' εὐθὺς
to-Xerxes the kingship to-belong Ariamenes and at-once
ἀναπηδήσας προσεκύνησε τὸν ἀδελφὸν καὶ λαβόμενος τῆς
having-leapt-up did-obeisance-to the brother and having-taken the
δεξιᾶς εἰς τὸν θρόνον ἐκάθισε τὸν βασίλειον. ἐκ τούτου
right-hand onto the throne seated the royal from this
μέγιστος ἦν παρ' αὐτῷ καὶ παρεῖχεν εὔνουν ἑαυτόν, ὥστ'
greatest he-was with him and showed well-disposed himself so-that
ἀριστεύων ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ πεσεῖν ὑπὲρ τῆς
being-bravest in the at Salamis sea-battle to-fall for the
ἐκείνου δόξης. τοῦτο μὲν οὖν ὥσπερ ἀρχέτυπον ἐκκείσθω
of-that-one glory this indeed then as-if archetype let-it-be-set-forth

καθαρὸν καὶ ἀμώμητον εὐμενείας καὶ μεγαλοφροσύνης.
pure and blameless of-goodwill and magnanimity
Ἀντιόχου δὲ τὴν μὲν φιλαρχίαν ψέξειεν ἄν τις, ὅτι δ' οὐ
of-Antiochus but the indeed love-of-rule would-blame — anyone that but not
παντάπασιν αὐτῇ τὸ φιλάδελφον ἐνηφανίσθη, θαυμάσειεν.
entirely by-it the brotherly-love was-obliterated would-admire
ἐπολέμει μὲν γὰρ ὑπὲρ τῆς βασιλείας Σελεύκῳ νεώτερος ὢν
was-at-war indeed for over the kingship with-Seleucus younger being
ἀδελφὸς καὶ τὴν μητέρα συλλαμβάνουσαν εἶχεν· ἀκμάζοντος
brother and the mother assisting he-had being-at-its-height
δὲ τοῦ πολέμου, Γαλάταις μάχην ὁ Σέλευκος συνάψας καὶ
and the war with-Galatians battle — Seleucus having-joined and
ἡττηθείς, οὐδαμοῦ φανερὸς ἦν ἀλλ' ἔδοξε τεθνάναι, πάσης
having-been-defeated nowhere visible was but seemed to-have-died of-all
ὁμοῦ τι τῆς στρατιᾶς ὑπὸ τῶν βαρβάρων κατακοπείσης.
nearly so-to-speak the army by the barbarians having-been-cut-down
πυθόμενος οὖν ὁ Ἀντίοχος τὴν πορφύραν ἔθηκε καὶ φαιὸν
having-learned then — Antiochus the purple laid-aside and gray
ἱμάτιον ἔλαβε, καὶ τὰ βασίλεια κλείσας ἐπένθει τὸν ἀδελφόν·
cloak took and the palace having-shut mourned the brother
ὀλίγῳ δ' ὕστερον ἀκούσας, ὅτι σώζεται καὶ δύναμιν
little and later having-heard that he-is-safe and force
αὖθις ἑτέραν ἀθροίζει, τοῖς τε θεοῖς ἔθυσε προελθὼν
again another gathers to-the both gods sacrificed having-come-forward
καὶ ταῖς πόλεσιν ὧν ἦρχε θύειν καὶ στεφανηφορεῖν
and to-the cities which he-ruled to-sacrifice and to-wear-garlands
ἐπήγγειλεν. Ἀθηναῖοι δὲ τὸν περὶ τῆς ἔριδος τῶν θεῶν
proclaimed Athenians and the about the strife of-the gods
μῦθον ἀτόπως πλάσαντες ἐπανόρθωμα τῆς ἀτοπίας οὐ
myth strangely having-fabricated correction of-the strangeness not
φαῦλον ἐνέμιξαν αὐτῷ· τὴν γὰρ δευτέραν ἐξαιροῦσιν ἀεὶ
slight mixed-in to-it the for second they-remove always

τοῦ Βοηδρομιῶνος, ὡς ἐν ἐκείνῃ τῷ Ποσειδῶνι πρὸς τὴν
— *of-Boedromion as on that — for-Poseidon with —*
Ἀθηνᾶν γενομένης τῆς διαφορᾶς. τί οὖν κωλύει καὶ ἡμᾶς
Athena having-arisen the quarrel what then prevents also us
διαφορᾶς ποτε πρὸς οἰκείους καὶ συγγενεῖς γενομένης
quarrel ever with relatives and kin having-arisen
ἐν ἀμνηστίᾳ τὴν ἡμέραν ἐκείνην τίθεσθαι καὶ μίαν τῶν
in oblivion the day that to-put and one of-the
ἀποφράδων νομίζειν, ἀλλὰ μὴ πολλῶν καὶ ἀγαθῶν ἐν
unlucky-days to-consider but not of-many and good in
αἷς συνετράφημεν καὶ συνεβιώσαμεν ἡμερῶν διὰ μίαν
which we-were-reared-together and lived-together days because-of one
ἐπιλανθάνεσθαι; ἢ γὰρ μάτην καὶ πρὸς οὐδὲν ἡ φύσις ἡμῖν
to-forget or for in-vain and for nothing the nature to-us
ἔδωκε πραότητα καὶ μετριοπαθείας ἔκγονον ἀνεξικακίαν,
gave gentleness and of-moderation offspring forbearance
ἢ μάλιστα χρηστέον τούτοις πρὸς συγγενεῖς καὶ οἰκείους.
or most one-must-use these toward kin and relatives
οὐχ ἧττον δὲ τοῦ διδόναι συγγνώμην ἁμαρτοῦσι τὸ
not less and than-the to-give pardon to-those-erring the
αἰτεῖσθαι καὶ λαμβάνειν αὐτοὺς ἁμαρτόντας εὔνοιαν
to-ask and to-receive themselves having-erred goodwill
ἐμφαίνει καὶ φιλοστοργίαν. ὅθεν ὀργιζομένων τε δεῖ
shows and affection whence when-they-are-angry both one-must
μὴ ἀμελεῖν καὶ παραιτουμένοις μὴ ἀντιτείνειν, ἀλλὰ καὶ
not to-neglect and to-those-begging-off not to-resist but even
φθάνειν πολλάκις ἁμαρτόντας αὐτοὺς τῇ παραιτήσει τὴν
to-anticipate often having-erred themselves by-the apology the
ὀργὴν ἀδικηθέντας τε πάλιν αὖ τῇ συγγνώμῃ τὴν
anger having-been-wronged and again in-turn by-the pardon the
παραίτησιν. ὁ μὲν οὖν Σωκρατικὸς Εὐκλείδης ἐν ταῖς
apology the indeed then Socratic Eucleides in the

σχολαῖς περιβόητός ἐστιν, ὅτι φωνὴν ἀκούσας ἀγνώμονα
schools famous is because voice having-heard unfeeling
καὶ θηριώδη τἀδελφοῦ πρὸς αὐτὸν εἰπόντος ‘ἀπολοίμην,
and brutish his-brother to him having-said may-I-perish
εἰ μή σε τιμωρησαίμην·’ ‘ἐγὼ δ” εἶπεν ‘εἰ μή σε πείσαιμι
if not you I-avenge-myself-on I and he-said if not you I-persuade
παύσασθαι τῆς ὀργῆς καὶ φιλεῖν ἡμᾶς ὡς πρότερον
to-cease from-the anger and to-love us as before
ἐφίλεις.’ τὸ δ’ Εὐμένους τοῦ βασιλέως ἔργον οὐ λόγος
you-loved the but of-Eumenes the king deed not word
ὑπερβολὴν οὐδεμίαν πραότητος ἀπολέλοιπε. Περσεὺς γὰρ
excess no of-gentleness has-left Perseus for
ὁ τῶν Μακεδόνων βασιλεὺς ἐχθρὸς ὢν αὐτῷ παρεσκεύασε
the of-the Macedonians king hostile being to-him prepared
τοὺς ἀποκτενοῦντας· οἱ δὲ περὶ Δελφοὺς ἐνήδρευον
the going-to-kill the and about Delphi lay-in-ambush
αἰσθόμενοι βαδίζοντα πρὸς τὸν θεὸν ἀπὸ θαλάσσης.
having-perceived him-walking to the god from sea
γενόμενοι δ’ ὄπισθεν αὐτοῦ λίθους μεγάλους ἐμβάλλουσιν
having-come and behind him stones great throw-in
εἴς τε τὴν κεφαλὴν καὶ τὸν τράχηλον, ὑφ’ ὧν σκοτωθεὶς
onto both the head and the neck by which having-been-stunned
καὶ πεσὼν ἔδοξε τεθνάναι· καὶ περιῆλθεν ἡ φήμη
and having-fallen he-seemed to-have-died and went-round the report
πανταχόσε, καὶ φίλοι τινὲς ἀφίκοντο καὶ θεράποντες εἰς
everywhere and friends some came and servants to
Πέργαμον αὐτάγγελοι τοῦ πάθους ἥκειν δοκοῦντες.
Pergamum bearing-their-own-news of-the calamity to-have-come seeming
Ἄτταλος οὖν ὁ πρεσβύτατος αὐτοῦ τῶν ἀδελφῶν, ἀνὴρ
Attalus then the eldest his of-the brothers man
ἐπιεικὴς καὶ περὶ τὸν Εὐμένη πάντων ἄριστος, οὐ μόνον
reasonable and toward — Eumenes of-all best not only

βασιλεὺς ἀνηγορεύθη διαδησάμενος, ἀλλὰ καὶ τὴν γυναῖκα
king was-proclaimed having-put-on-the-diadem but also the wife
τἀδελφοῦ Στρατονίκην ἔγημε καὶ συνῆρχεν· ἐπεὶ δ' ἀπηγγέλη
of-his-brother Stratonice married and ruled-with when and it-was-reported
ζῶν ὁ Εὐμένης καὶ προσήει, θεὶς τὸ διάδημα καὶ
alive — Eumenes and was-approaching having-laid-aside the diadem and
λαβὼν ὥσπερ εἰώθει τὰ δοράτια μετὰ τῶν ἄλλων
having-taken as he-was-accustomed the spears with the other
ἀπήντησεν αὐτῷ δορυφόρων. ὁ δὲ κἀκεῖνον εὐμενῶς
met him bodyguards he and him-too kindly
ἐδεξιώσατο καὶ τὴν βασίλισσαν ἠσπάσατο μετὰ τιμῆς καὶ
greeted and the queen embraced with honor and
φιλοφροσύνης· καὶ χρόνον οὐκ ὀλίγον ἐπιβιώσας ἀμέμπτως
friendliness and time not little having-lived-on blamelessly
καὶ ἀνυπόπτως ἀπέθανε, τῷ Ἀττάλῳ τήν τε βασιλείαν καὶ
and unsuspiciously died — to-Attalus the both kingship and
τὴν γυναῖκα παρεγγυήσας. τί οὖν ἐκεῖνος; ἀποθανόντος
the wife having-entrusted what then he having-died
αὐτοῦ, παιδίον οὐδὲ ἓν ἠθέλησεν ἐκ τῆς γυναικὸς ἀνελέσθαι
him child not-even one wished from the wife to-raise
τεκούσης πολλάκις, ἀλλὰ τὸν ἐκείνου παῖδα θρέψας καὶ
having-borne often but the of-that-one son having-reared and
ἀνδρώσας ἔτι ζῶν ἐπέθηκε τὸ διάδημα καὶ βασιλέα
having-brought-to-manhood still living put-on the diadem and king
προσηγόρευσεν. ἀλλὰ Καμβύσης ἐξ ἐνυπνίου φοβηθεὶς
proclaimed but Cambyses from dream having-been-frightened
ὡς βασιλεύσοντα τῆς Ἀσίας τὸν ἀδελφόν, οὐδεμίαν ἀπόδειξιν
as going-to-rule — of-Asia the brother no proof
οὐδ' ἔλεγχον ἀναμείνας ἀπέκτεινεν. ὅθεν ἐξέπεσε τῆς Κύρου
nor examination having-waited-for killed whence fell-out of-the of-Cyrus
διαδοχῆς ἡ ἀρχή, τελευτήσαντος αὐτοῦ, καὶ τὸ Δαρείου
succession the rule having-died him and the of-Darius

γένος ἐβασίλευσεν, ἀνδρὸς οὐ μόνον ἀδελφοῖς ἀλλὰ καὶ
line reigned of-man not only with-brothers but also
φίλοις ἐπισταμένου κοινωνεῖν πραγμάτων καὶ δυνάμεως.
with-friends knowing-how to-share affairs and power
ἔτι τοίνυν ἐκεῖνο δεῖ μνημονεύειν ἐν ταῖς πρὸς τοὺς 19
further then that one-must to-remember in the toward the
ἀδελφοὺς διαφοραῖς καὶ φυλάττειν, τὸ τοῖς φίλοις αὐτῶν
brothers quarrels and to-guard the with-the friends their
ὁμιλεῖν, καὶ πλησιάζειν τότε μάλιστα· φεύγειν δὲ τοὺς
to-associate and to-be-near then most to-shun and the
ἐχθροὺς καὶ μὴ προσδέχεσθαι, μιμούμενον αὐτὸ γοῦν
enemies and not to-admit imitating very at-any-rate
τοῦτο τὸ Κρητῶν, οἳ πολλάκις στασιάζοντες ἀλλήλοις
this the of-Cretans who often quarreling with-one-another
καὶ πολεμοῦντες, ἔξωθεν ἐπιόντων πολεμίων διελύοντο
and warring from-outside attacking enemies were-reconciled
καὶ συνίσταντο· καὶ τοῦτ' ἦν ὁ καλούμενος ὑπ' αὐτῶν
and stood-together and this was the called by them
'συγκρητισμός.' ἔνιοι γὰρ ὥσπερ ὕδωρ τοῖς χαλῶσι καὶ
syncretism some for like water into-the loosening and
διισταμένοις ὑπορρέοντες ἀνατρέπουσιν οἰκειότητας καὶ
standing-apart flowing-under overturn kinships and
φιλίας, μισοῦντες μὲν ἀμφοτέρους ἐπιτιθέμενοι δὲ τῷ μᾶλλον
friendships hating indeed both attacking but the more
ὑπ' ἀσθενείας ἐνδιδόντι. τῷ μὲν γὰρ ἐρῶντι συνερῶσιν
from weakness giving-way to-the indeed for loving join-in-loving
οἱ νεαροὶ καὶ ἄκακοι τῶν φίλων, τῷ δ' ὀργιζομένῳ καὶ
the young and guileless of-the friends to-the but being-angry and
διαφερομένῳ πρὸς ἀδελφὸν οἱ κακοηθέστατοι τῶν ἐχθρῶν
quarreling with brother the most-malicious of-the enemies
συναγανακτεῖν καὶ συνοργίζεσθαι δοκοῦσι. καθάπερ οὖν ἡ
to-share-indignation and to-share-anger seem as then the

Αἰσώπειος ἀλεκτορὶς πρὸς τὴν αἴλουρον, ὡς δὴ κατ'
Aesopic hen to the cat as indeed out-of
εὔνοιαν αὐτῆς νοσούσης ὅπως ἔχει πυθανομένην, 'καλῶς'
goodwill her being-sick how she-is inquiring well
εἶπεν 'ἂν σὺ ἀποστῇς·' οὕτω καὶ πρὸς τοιοῦτον ἄνθρωπον,
she-said if you go-away so also to such man
ἐμβάλλοντα λόγον ὑπὲρ τῆς διαφορᾶς καὶ πυνθανόμενον
throwing-in talk about the quarrel and inquiring
καὶ ὑπορύττοντα τῶν ἀπορρήτων ἔνια, χρὴ λέγειν
and undermining of-the secrets some-things one-must to-say
'ἀλλ' ἔμοιγε πρᾶγμα πρὸς τὸν ἀδελφὸν οὐδὲν ἔστιν,
but to-me-at-least matter with the brother nothing is
ἂν μήτ' ἐγὼ τοῖς διαβάλλουσι προσέχω μήτ' ἐκεῖνος.'
if neither I to-the slanderers attend nor he
νυνὶ δ' οὐκ οἶδ' ὅπως ὀφθαλμιῶντες μὲν οἰόμεθα δεῖν
now but not I-know how having-sore-eyes indeed we-think one-must
ἀποστρέφειν ἐπὶ τὰ μὴ ποιοῦντα, πληγὴν μηδ' ἀντιτυπίαν
to-turn to the not making blow nor resistance
χρώματα καὶ σώματα τὴν ὄψιν, ἐν δὲ μέμψεσι καὶ
colors and bodies the sight in but complaints and
ὀργαῖς καὶ ὑπονοίαις πρὸς ἀδελφοὺς γενόμενοι χαίρομεν
angers and suspicions toward brothers having-become we-rejoice
καὶ προσαναχρωννύμεθα τοῖς ἐκταράττουσιν, ὅτε καλῶς
and color-ourselves-further with-the disturbing when well
εἶχε τοὺς μὲν ἐχθροὺς καὶ δυσμενεῖς ἀποδιδράσκειν
it-was the indeed enemies and ill-disposed to-run-away-from
καὶ λανθάνειν, συνεῖναι δὲ καὶ συνδιημερεύειν μάλιστα
and to-escape-notice to-be-with but and to-spend-the-day most
κηδεσταῖς ἐκείνων καὶ οἰκείοις καὶ φίλοις, καὶ πρὸς
with-kinsmen-by-marriage of-those and relatives and friends and to
γυναῖκας αὐτῶν εἰσιόντας αἰτιᾶσθαι καὶ παρρησιάζεσθαι.
wives their going-in to-blame and to-speak-frankly

καίτοι λίθον οὔ φασι χρῆναι μέσον ἀδελφοὺς λαμβάνειν
and-yet stone not they-say one-must middle brothers to-take
ὁδὸν βαδίζοντας, ἄχθονται δὲ καὶ κυνὸς διεκδραμόντος,
road walking are-vexed and also dog having-run-through
καὶ πολλὰ τοιαῦτα δεδίασιν ὧν οὐδὲν ὁμόνοιαν ἀδελφῶν
and many such-things they-fear of-which nothing concord of-brothers
διέστησεν, ἀνθρώπους δὲ κυνικοὺς καὶ διαβόλους ἐν μέσῳ
parted men but doglike and slanderous in middle
λαμβάνοντες αὑτῶν καὶ περιπταίοντες οὐ συνορῶσι.
taking of-themselves and stumbling not they-perceive
διὸ τοῦ λόγου τὸ συνεχὲς ὑπαγορεύοντος, εὖ μὲν εἶπε 20
therefore the argument the continuity suggesting well indeed said
Θεόφραστος ὡς ‘εἰ κοινὰ τὰ φίλων ἐστί, μάλιστα δεῖ
Theophrastus that if common the-things of-friends are most one-must
κοινοὺς τῶν φίλων εἶναι τοὺς φίλους·’ οὐχ ἥκιστα δ’ ἄν τις
common of-the friends to-be the friends not least and — anyone
ἀδελφοῖς τοῦτο παραινέσειεν. αἱ γὰρ ἰδίᾳ καὶ χωρὶς ὁμιλίαι
to-brothers this would-advise the for private and apart associations
καὶ συνήθειαι πρὸς ἄλλους ἀποστρέφουσι καὶ ἀπάγουσιν
and intimacies to others turn-away and lead-away
ἀπ’ ἀλλήλων· τῷ γὰρ φιλεῖν ἑτέρους εὐθὺς ἕπεται τὸ
from one-another the for to-love others at-once follows the
χαίρειν ἑτέροις καὶ ζηλοῦν ἑτέρους καὶ ἄγεσθαι ὑφ’ ἑτέρων.
to-rejoice in-others and to-emulate others and to-be-led by others
ἠθοποιοῦσι γὰρ αἱ φιλίαι, καὶ μεῖζον οὐδέν ἐστι διαφορᾶς
form-character for the friendships and greater nothing is of-difference
ἠθῶν σημεῖον ἢ φίλων αἱρέσεις διαφερόντων. ὅθεν οὔτε
of-characters sign than of-friends choices differing whence neither
τὸ συνεσθίειν ἀδελφοὺς καὶ συμπίνειν οὔτε τὸ συμπαίζειν
the to-eat-together brothers and to-drink-together nor the to-play-together
καὶ συνδιημερεύειν οὕτω συνεκτικόν ἐστιν ὁμονοίας, ὡς
and to-spend-the-day-together so cohesive is of-concord as

τὸ συμφιλεῖν καὶ συνεχθραίνειν ἥδεσθαί τε τοῖς αὐτοῖς
the to-love-together and to-hate-together to-take-pleasure both in-the same
συνόντα καὶ τοὺς αὐτοὺς βδελύσσεσθαι καὶ φεύγειν. οὐδὲ
being-together and the same to-loathe and to-shun not-even
γὰρ διαβολὰς αἱ κοιναὶ φιλίαι φέρουσιν οὐδὲ συγκρούσεις·
for slanders the common friendships bring nor clashes
ἀλλὰ κἂν γένηταί τις ὀργὴ καὶ μέμψις, ἐκλύεται διὰ
but even-if arise some anger and complaint it-is-dissolved through
μέσων τῶν φίλων, ἐκδεχομένων καὶ διασκεδαννύντων,
middle the friends receiving and dispersing
ἄνπερ ἀμφοτέροις οἰκείως ἔχωσι καὶ πρὸς ἀμφοτέρους
if-only to-both kindly they-are-disposed and toward both
ὁμοῦ τῇ εὐνοίᾳ συννεύωσιν. ὡς γὰρ ὁ κασσίτερος ῥαγέντα
alike in-the goodwill incline as for the tin broken
τὸν χαλκὸν συναρμόττει καὶ συγκεράννυσι τῷ ψαύειν
the bronze joins and blends by-the touching
ἑκατέρου πέρατος οἰκείως ὁμοπαθὴς γιγνόμενος, οὕτω
each end kindly sharing-the-affection becoming so
δεῖ τὸν φίλον εὐάρμοστον ὄντα καὶ κοινὸν ἀμφοτέροις
one-must the friend well-fitted being and common to-both
τοῖς ἀδελφοῖς προσκαταπυκνοῦν τὴν εὔνοιαν. οἱ δ’
the brothers to-compact-further the goodwill the(-ones) but
ἄνισοι καὶ ἄμικτοι καθάπερ ἐν διαγράμματι μουσικῷ
unequal and unmixable as in diagram musical
φθόγγοι, διάζευξιν οὐ συναφὴν ποιοῦσιν. ἔστιν οὖν
notes disjunction not conjunction make it-is-possible then
διαπορῆσαι πότερον ὀρθῶς ἢ τοὐναντίον ὁ Ἡσίοδος εἶπε
to-doubt whether rightly or the-opposite — Hesiod said

‘μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον·’
not-even to-brother equal to-make comrade

ὁ μὲν γὰρ εὐγνώμων καὶ κοινός, ὥσπερ εἴρηται,
the indeed for fair-minded and common as has-been-said
μᾶλλον ἐγκραθεὶς δι’ ἀμφοτέρων σύνδεσμος ἔσται τῆς
rather blended through both bond will-be of-the
φιλαδελφίας· ὁ δ’ Ἡσίοδος ὡς ἔοικεν ἐφοβήθη τοὺς
brotherly-love — but Hesiod as it-seems feared the
πολλοὺς καὶ φαύλους διὰ τὸ δύσζηλον καὶ φίλαυτον.
many and base because-of the jealousy and self-love
ὃ δὴ καλῶς ἔχει φυλαττομένους, κἂν εὔνοιαν ἴσην
which indeed well is guarding-against even-if goodwill equal
φίλῳ νέμῃ τις, ἀεὶ τὰ πρωτεῖα τἀδελφῷ φυλάττειν ἐν
to-friend assigns anyone always the first-place to-the-brother to-keep in
ἀρχαῖς καὶ πολιτείαις ἐν κλήσεσι καὶ γνωρίσεσιν ἡγεμόνων
offices and public-affairs in invitations and introductions to-rulers
καὶ ὅσα τοῖς πολλοῖς ἐπιφανῆ καὶ πρὸς δόξαν ἐστί,
and whatever to-the many conspicuous and for reputation is
τὸ προσῆκον ἀξίωμα τῇ φύσει καὶ γέρας ἀποδιδόντας.
the fitting dignity to-the nature and privilege rendering
οὐ γὰρ οὕτω τῷ φίλῳ τὸ πλέον ἐν τούτοις σεμνόν, ὡς
not for so to-the friend the more in these-things dignified as
ἀδελφῷ τοὔλαττον αἰσχρὸν γίγνεται καὶ ἄδοξον. ἀλλὰ περὶ
to-brother the-less shameful becomes and inglorious but about
ταύτης μὲν ἑτέρωθι τῆς γνώμης γέγραπται τὰ δοκοῦντα
this indeed elsewhere the opinion has-been-written the views
διὰ πλειόνων. τὸ δὲ Μενάνδρειον ὀρθῶς ἔχον, ὡς
through more the but Menandrean rightly being that

‘οὐδεὶς ἀγαπῶν αὐτὸς ἀμελεῖθ’ ἡδέως,’
no-one loving he-himself is-neglected gladly

ὑπομιμνήσκει καὶ διδάσκει τῶν ἀδελφῶν ἐπιμελεῖσθαι καὶ
reminds and teaches of-the brothers to-take-care and
μὴ τῇ φύσει πιστεύοντας ὀλιγωρεῖν. καὶ γὰρ ἵππος τῇ
not in-the nature trusting to-neglect and for horse by-the
φύσει φιλάνθρωπον καὶ κύων φιλοδέσποτον, ἀλλὰ μὴ
nature man-loving and dog master-loving but not
τυγχάνοντα θεραπείας μηδ’ ἐπιμελείας ἀπόστοργα γίγνεται
obtaining care nor attention unloving become
καὶ ἀλλότρια· καὶ τὸ σῶμα τῆς ψυχῆς συγγενέστατόν ἐστιν,
and estranged and the body of-the soul most-akin is
ἀμελούμενον δὲ καὶ παρορώμενον ὑπ’ αὐτῆς οὐκ ἐθέλει
being-neglected but and overlooked by it not is-willing
συνεργεῖν ἀλλὰ λυμαίνεται καὶ προλείπει τὰς πράξεις.
to-cooperate but harms and abandons the actions

VI · THE BROTHER’S HOUSEHOLD

Brotherly care extends to a brother’s in-laws, servants, physicians, and friends, and above all to his wife, whom one should honor, defend, and reconcile with him; one should urge him to marry, and once he has children show him more goodwill and his wife more honor. To a brother’s sons an uncle should be milder than a father, as Plato reclaimed his nephew Speusippus and the uncle of Aleuas made him king of Thessaly. Heracles loved his nephew Iolaus, and Leucothea reared her sister’s child, so Roman women at her festival embrace their sisters’ children, not their own.

ἐπιμέλεια δὲ καλὴ μὲν αὐτῶν τῶν ἀδελφῶν, ἔτι δὲ 21
care and fine indeed of-themselves the brothers still and
καλλίων πενθεροῖς καὶ γαμβροῖς τοῖς ἐκείνων εὔνουν
finer to-fathers-in-law and sons-in-law the of-those well-disposed
ἀεὶ παρέχειν εἰς ἅπαντα καὶ πρόθυμον ἑαυτόν, οἰκέτας
always to-show for everything and eager oneself household-slaves
τε φιλοδεσπότους ἀσπάζεσθαι καὶ φιλοφρονεῖσθαι, καὶ
and master-loving to-greet and to-treat-kindly and
χάριν ἔχειν ἰατροῖς θεραπεύσασιν αὐτοὺς καὶ φίλοις
gratitude to-have to-physicians having-treated them and to-friends
πιστοῖς προθύμως καὶ χρησίμως συνδιενεγκοῦσιν ἀποδημίαν
faithful eagerly and usefully having-shared-in travel-abroad
ἢ στρατείαν· γυναῖκα δ' ἀδελφοῦ γαμετὴν ὡς ἁπάντων
or campaign wife but of-brother wedded as of-all
ἱερῶν ἁγιώτατον προσορῶντα καὶ σεβόμενον, τιμᾶν διὰ
sanctuaries most-holy regarding and revering to-honor because-of
τὸν ἄνδρα καὶ εὐφημεῖν, ἀμελουμένῃ δὲ συναγανακτεῖν
the husband and to-speak-well-of being-neglected and to-share-indignation
χαλεπαίνουσαν δὲ πραΰνειν· ἂν δ' ἁμάρτῃ τι
being-harsh and to-soothe if but she-err in-something
τῶν μετρίων, συνδιαλλάττειν καὶ συμπαρακαλεῖν τὸν
of-the moderate to-help-reconcile and to-join-in-entreating the
ἄνδρα· κἂν αὐτῷ τις ἰδίᾳ γένηται διαφορὰ πρὸς
husband and-if to-him any privately arise quarrel toward
τὸν ἀδελφόν, αἰτιᾶσθαι παρ' ἐκείνῃ καὶ διαλύεσθαι
the brother to-complain before her and to-dissolve
τὴν μέμψιν. ἀγαμίαν δ' ἀδελφοῦ καὶ ἀπαιδίαν
the complaint unmarried-state but of-brother and childlessness
μάλιστα δυσχεραίνειν, καὶ παρακαλοῦντα καὶ λοιδοροῦντα
most to-be-vexed-at and exhorting and reviling
συνελαύνειν πανταχόθεν εἰς γάμον καὶ συνειργνύναι νομίμοις
to-drive from-every-side into marriage and to-bind in-lawful

κηδεύμασι· κτησαμένου δὲ παῖδας, ἐμφανέστερον χρῆσθαι
alliances having-acquired and children more-conspicuously to-show
τῇ τε πρὸς αὐτὸν εὐνοίᾳ καὶ τῇ πρὸς τὴν γυναῖκα
the both toward him goodwill and the toward the wife
τιμῇ.
honor
τοῖς δὲ παισὶν εὔνουν μὲν ὥσπερ ἰδίοις ἥπιον δὲ
to-the and children well-disposed indeed as to-one's-own gentle but
μᾶλλον εἶναι καὶ μειλίχιον, ὅπως ἁμαρτάνοντες οἷα
rather to-be and mild so-that erring as
νέοι μὴ δραπετεύωσι μηδὲ καταδύωνται διὰ φόβον
young-men not they-run-away nor sink because-of fear
πατρὸς ἢ μητρὸς εἰς ὁμιλίας φαύλας καὶ ὀλιγώρους,
of-father or of-mother into associations base and neglectful
ἀλλ' ἀποστροφὴν καὶ καταφυγὴν ἅμα νουθετοῦσαν
but refuge and shelter at-the-same-time admonishing
εὐνοίᾳ καὶ παραιτουμένην ἔχωσιν. οὕτω καὶ Πλάτων
with-goodwill and interceding they-may-have so also Plato
ἀδελφιδοῦν ὄντα Σπεύσιππον ἐκ πολλῆς ἀνέσεως καὶ
nephew being Speusippus from much license and
ἀκολασίας ἐπέστρεψεν, οὐδὲν οὔτ' εἰπὼν ἀνιαρὸν οὔτε
dissoluteness turned nothing either having-said grievous or
ποιήσας πρὸς αὐτόν, ἀλλὰ φεύγοντι, τοὺς γονεῖς ἐλέγχοντας
having-done toward him but to-him-fleeing the parents reproving
αὐτὸν ἀεὶ καὶ λοιδοροῦντας ἐνδιδοὺς ἑαυτὸν εὐμενῆ καὶ
him always and reviling showing himself kindly and
ἀμήνιτον, αἰδῶ τε πολλὴν ἐνειργάσατο καὶ ζῆλον ἑαυτοῦ
without-wrath respect both great produced and emulation of-himself
καὶ φιλοσοφίας. καίτοι πολλοὶ τῶν φίλων ἐνεκάλουν ὡς
and of-philosophy and-yet many of-the friends reproached-him as
μὴ νουθετοῦντι τὸ μειράκιον· ὁ δὲ καὶ πάνυ νουθετεῖν
not admonishing the youth he but even very-much to-admonish

ἔλεγε, τῷ βίῳ καὶ τῇ διαίτῃ τῆς πρὸς τὰ αἰσχρὰ
said by-the life and the way-of-life of-the toward the shameful-things
τῶν καλῶν διαφορᾶς παρέχων κατανόησιν. Ἀλεύαν δὲ
of-the fine difference providing perception Aleuas and
τὸν Θεσσαλὸν ὁ μὲν πατὴρ ἀγέρωχον ὄντα καὶ ὑβριστὴν
the Thessalian the indeed father arrogant being and insolent
ἐκόλουε καὶ χαλεπὸς ἦν, ὁ δὲ θεῖος ἀνελάμβανε καὶ
curbed and harsh was the but uncle took-him-up and
προσήγετο· πεμπόντων δὲ τῶν Θεσσαλῶν φρυκτοὺς
drew-him-close sending and the Thessalians beans
περὶ βασιλέως πρὸς τὸν θεὸν εἰς Δελφούς, ἐνέβαλε
about king to the god at Delphi threw-in
κρύφα τοῦ πατρὸς ὁ θεῖος ὑπὲρ τοῦ Ἀλεύα· καὶ
secretly from-the father the uncle for — Aleuas and
τῆς Πυθίας τοῦτον ἀνελούσης, ὅ τε πατὴρ ἀπέφησεν
the Pythia this-one having-drawn the both father denied
ἐμβεβληκέναι τὸν φρυκτὸν ὑπὲρ αὐτοῦ, καὶ πᾶσιν ἐδόκει
to-have-thrown-in the bean for him and to-all it-seemed
πλάνη τις ἐν ταῖς καταγραφαῖς τῶν ὀνομάτων γεγονέναι.
error some in the registrations of-the names to-have-occurred
διὸ καὶ πέμψαντες αὖθις ἐπανήροντο τὸν θεόν· ἡ δὲ
therefore also having-sent again they-asked the god the but
Πυθία καθάπερ ἐκβεβαιουμένη τὴν προτέραν ἀναγόρευσιν
Pythia as-if confirming the former proclamation
εἶπε
said

‘τὸν Πυρρόν τοί φημι, τὸν Ἀρχεδίκη τέκε παῖδα.’
the red-haired surely I-mean whom Archedice bore child

καὶ τοῦτον τὸν τρόπον ὁ Ἀλεύας ὑπὸ τοῦ θεοῦ
and in-this the way — Aleuas by the god
βασιλεὺς διὰ τὸν τοῦ πατρὸς ἀδελφὸν ἀποδειχθείς,
king thanks-to the of-the father brother having-been-appointed
αὐτός τε πολὺ πάντων ἐπρώτευσε τῶν πρὸ αὑτοῦ
himself both by-far of-all was-first of-the before him
καὶ τὸ ἔθνος εἰς δόξαν προήγαγε μεγάλην καὶ
and the nation to reputation advanced great and
δύναμιν. ἀλλὰ μὴν εὐπραξίαις τε καὶ τιμαῖς καὶ
power but indeed in-successes both and honors and
ἀρχαῖς παίδων ἀδελφοῦ χαίροντα καὶ σεμνυνόμενον
offices of-children of-brother rejoicing and taking-pride
αὔξειν προσήκει καὶ συνεξορμᾶν πρὸς τὰ καλὰ καὶ
to-increase befits and to-urge-on toward the fine-things and
κατορθοῦντας ἀφειδῶς ἐπαινεῖν· αὑτοῦ γὰρ υἱὸν ἐπαχθὲς
succeeding unsparingly to-praise his-own for son burdensome
ἴσως ἐγκωμιάζειν, ἀδελφοῦ δὲ σεμνὸν καὶ οὐ φίλαυτον
perhaps to-eulogize of-brother but dignified and not self-loving
ἀλλὰ φιλόκαλον καὶ θεῖον ὡς ἀληθῶς. δοκεῖ γάρ μοι
but beauty-loving and divine as truly seems for to-me
καὶ τοὔνομα καλῶς ὑφηγεῖσθαι πρὸς εὔνοιαν ἀδελφιδῶν
also the-name well to-lead to goodwill of-nephews
καὶ ἀγάπησιν. δεῖ δὲ καὶ τὰ τῶν κρειττόνων
and love one-must and also the-things of-the better
ζηλοῦν· Ἡρακλῆς τε γὰρ δυεῖν δέοντας ἑβδομήκοντα
to-emulate Heracles both for of-two lacking seventy
γεννήσας παῖδας, οὐδενὸς ἧττον αὐτῶν τὸν ἀδελφιδοῦν
having-begotten children than-none less of-them the nephew
ἠγάπησεν· ἀλλὰ καὶ νῦν πολλαχοῦ σύμβωμός ἐστιν
loved but even now in-many-places sharing-an-altar is
Greeks so-that having-returned the victory-sacrifices of-the war
τοῦ κατὰ τῶν βαρβάρων θύσειε, καὶ τῶν ἐθνῶν κατὰ
of-the against the barbarians he-might-offer and the nations by

κεφαλὴν εἰσφερόντων ἄργυρον ‘πρότερον μὲν’ ἔφησεν
head contributing silver before indeed he-said
‘ἠμφισβήτουν, νῦν δ’ ᾔσθημαι σαφῶς ὅτι ὁ ‘πορφύρεος’
I-was-in-doubt now but I-have-perceived clearly that the purple
Ὁμήρου ‘θάνατος’ οὗτός ἐστιν.’ ἐξ ὧν ἐχθρὸν
of-Homer death this is from which-things enemy
ἐκτήσατο τὸν Ἀλέξανδρον. Ἀντίγονον δὲ τὸν βασιλέα τῶν
he-acquired — Alexander Antigonus and the king of-the
Μακεδόνων ἑτερόφθαλμον ὄντα τὴν πήρωσιν προφέρων
Macedonians one-eyed being the maiming casting-up
εἰς οὐ μετρίαν ὀργὴν κατέστησε. τὸν γὰρ ἀρχιμάγειρον
into not moderate anger he-put the for chief-cook
Εὐτροπίωνα γεγενημένον ἐν τάξει πέμψας παραγενέσθαι
Eutropion having-become in office sending to-present-himself
πρὸς αὐτὸν ἠξίου καὶ λόγον δοῦναι καὶ λαβεῖν. ταῦτα
to him he-asked both account to-give and to-receive these-things
δ’ ἀπαγγέλλοντος ἐκείνου πρὸς αὐτὸν καὶ πολλάκις
and reporting that-one to him and often
προσιόντος ‘εὖ οἶδ” ἔφησεν ‘ὅτι ὠμόν με θέλεις τῷ Κύκλωπι
approaching well I-know he-said that raw me you-wish — to-Cyclops
παραθεῖναι,’ ὀνειδίζων τὸν μὲν ὅτι πηρός, τὸν δ’ ὅτι
to-serve-up reproaching the(-one) indeed that maimed the(-other) and that
μάγειρος ἦν. κἀκεῖνος ‘τοιγαροῦν’ εἰπών ‘τὴν κεφαλὴν
cook he-was and-he therefore having-said the head
οὐχ ἕξεις ἀλλὰ τῆς ἀθυροστομίας ταύτης καὶ μανίας
not you-will-have but of-the unbridled-tongue this and madness
δώσεις δίκην’, ἀπήγγειλε τὰ εἰρημένα τῷ βασιλεῖ, ὁ δὲ
you-will-pay penalty he-reported the things-said to-the king he and
πέμψας ἀνεῖλε τὸν Θεόκριτον. παρὰ πάντα δὲ ταῦτα, ὅπερ
having-sent killed — Theocritus beyond all and these-things what
ἐστὶν ἱεροπρεπέστατον, ἐθίζειν τοὺς παῖδας τῷ τἀληθῆ
is most-sacred to-accustom the children to-the the-truth

λέγειν· τὸ γὰρ ψεύδεσθαι δουλοπρεπὲς καὶ πᾶσιν ἀνθρώποις
to-speak the for to-lie slavish and by-all men
ἄξιον μισεῖσθαι καὶ οὐδὲ μετρίοις δούλοις συγγνωστόν.
worthy to-be-hated and not-even for-moderate slaves pardonable
[…] 15
(omitted)
περὶ μὲν οὖν τούτων, ὅπως ἕκαστος αὐτὸς ἑαυτὸν 16
about indeed then these-things as each-one himself himself
πέπεικεν, οὕτως ὑπολαμβανέτω· ἐγὼ δ' ἐπειδὴ περὶ τῆς
has-persuaded so let-him-suppose I but since about the
τῶν παίδων εὐταξίας εἴρηκα καὶ κοσμιότητος, καὶ ἐπὶ
of-the children good-order I-have-spoken and decorum also to
τὴν τῶν μειρακίων ἡλικίαν ἤδη μεταβήσομαι καὶ μικρὰ
the of-the youths age already I-will-pass and small-things
παντάπασιν λέξω. πολλάκις γὰρ κατεμεμψάμην τοὺς
altogether I-will-say often for I-have-blamed the
μοχθηρῶν ἐθῶν γεγονότας εἰσηγητάς, οἵτινες τοῖς μὲν
of-wicked habits having-become introducers who to-the indeed
παισὶ παιδαγωγοὺς καὶ διδασκάλους ἐπέστησαν, τὴν δὲ τῶν
children tutors and teachers set-over the but of-the
μειρακίων ὁρμὴν ἄφετον εἴασαν νέμεσθαι, δέον αὖ
youths impulse loose allowed to-graze it-being-necessary in-turn
τοὐναντίον πλείω τῶν μειρακίων ποιεῖσθαι τὴν εὐλάβειαν καὶ
the-opposite more of-the youths to-make the caution and
φυλακὴν ἢ τῶν παίδων. τίς γὰρ οὐκ οἶδεν ὅτι τὰ μὲν τῶν
guard than of-the children who for not knows that the indeed of-the
παίδων πλημμελήματα μικρὰ καὶ παντελῶς ἐστιν ἰάσιμα,
children faults small and entirely are curable
παιδαγωγῶν ἴσως ὀλιγωρία καὶ διδασκάλων παραγωγὴ καὶ
of-tutors perhaps neglect and of-teachers misleading and
ἀνηκουστία· τὰ δὲ τῶν ἤδη νεανισκευομένων ἀδικήματα
disobedience the but of-the already youthful offenses

πολλάκις ὑπερφυᾶ γίνεται καὶ σχέτλια, ἀμετρία γαστρὸς
often monstrous become and wretched excess of-belly
καὶ κλοπαὶ πατρῴων χρημάτων καὶ κύβοι καὶ κῶμοι καὶ
and thefts of-paternal money and dice and revels and
πότοι καὶ παρθένων ἔρωτες καὶ γυναικῶν οἰκοφθορίαι
drinking-bouts and of-maidens loves and of-women ruinings-of-homes
γαμετῶν. οὐκοῦν τὰς τούτων ὁρμὰς ταῖς ἐπιμελείαις
married therefore the of-these impulses with-the cares
δεσμεύειν καὶ κατέχειν προσῆκεν. ἀταμίευτον γὰρ τῶν
to-bind and to-restrain it-befits uncontrolled for of-the
ἡδονῶν ἡ ἀκμὴ καὶ σκιρτητικὸν καὶ χαλινοῦ δεόμενον, ὥσθ᾽
pleasures the prime and skittish and of-bridle needing so-that
οἱ μὴ τῆς ἡλικίας ταύτης ἐρρωμένως ἀντιλαμβανόμενοι
those not of-the age this vigorously laying-hold-of
τῇ ἀνοίᾳ διδόασιν ἐξουσίαν ἐπὶ τὰ ἀδικήματα.
to-the folly give license for the offenses
ἔδει τοίνυν τοὺς ἔμφρονας πατέρας παρὰ τοῦτον
it-was-needful then the sensible fathers at this
μάλιστα τὸν καιρὸν φυλάττειν ἐγρηγορέναι σωφρονίζειν
most the time to-guard to-be-awake to-chasten
τοὺς μειρακίσκους διδάσκοντας ἀπειλοῦντας δεομένους,
the youths teaching threatening entreating
παραδείγματα δεικνύντας τῶν διὰ φιληδονίαν μὲν
examples showing of-those through love-of-pleasure indeed
συμφοραῖς περιπεσόντων διὰ δὲ καρτερίαν ἔπαινον
into-misfortunes having-fallen through and endurance praise
καὶ δόξαν ἀγαθὴν περιποιησαμένων. δύο γὰρ ταῦθ᾽
and reputation good having-won two for these-things
ὡσπερεὶ στοιχεῖα τῆς ἀρετῆς ἐστιν, ἐλπίς τε τιμῆς καὶ
as-it-were elements of-the virtue are hope both of-honor and
φόβος τιμωρίας· ἡ μὲν γὰρ ὁρμητικωτέρους πρὸς τὰ
fear of-punishment the(-one) indeed for more-eager toward the

κάλλιστα τῶν ἐπιτηδευμάτων ἡ δ᾽ ὀκνηροὺς πρὸς
finest of-the pursuits the(-other) and reluctant toward
τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται.
the base of-the deeds makes

V · BAD COMPANY AND THE FATHER'S EXAMPLE

Children must be kept from bad company, as Pythagoras' riddles teach, and above all from flatterers who urge sons to drink and spend and mock their fathers' warnings. Yet fathers should not be harsh: they should remember their own youth, mix gentleness with rebuke, and overlook some faults. A son ruled by pleasure should be married to a wife not far above him in birth or wealth. Fathers must set their sons an example in all they do, as Eurydice learned letters late in life for her children's sake; most of this advice lies within human reach.

καθόλου δ᾽ ἀπείργειν προσήκει τοὺς παῖδας τῆς πρὸς τοὺς 17
in-general and to-keep-away befits the children from-the with the
πονηροὺς ἀνθρώπους συνουσίας· ἀποφέρονται γάρ τι
wicked men company they-carry-away for something
τῆς τούτων κακίας. τοῦτο δὲ παρήγγειλε καὶ Πυθαγόρας
of-the of-these vice this and enjoined also Pythagoras
αἰνίγμασιν ἅπερ ἐγὼ παραθεὶς ἐξηγήσομαι· καὶ γὰρ ταῦτα
in-riddles which I having-set-beside will-explain and for these-things
πρὸς ἀρετῆς κτῆσιν συμβάλλεται ῥοπὴν οὐκ ἐλαχίστην. οἷον
toward of-virtue acquisition contribute weight not least such-as
'μὴ γεύεσθαι μελανούρων' τουτέστι μὴ συνδιατρίβειν μέλασιν
not to-taste black-tails that-is not to-spend-time-with black
ἀνθρώποις διὰ κακοήθειαν. 'μὴ ζυγὸν ὑπερβαίνειν,'
men because-of malice not yoke to-step-over
τουτέστιν ὅτι δεῖ τῆς δικαιοσύνης πλεῖστον ποιεῖσθαι
that-is that one-must of-the justice most to-make

λόγον καὶ μὴ ταύτην ὑπερβαίνειν. ‘μὴ ἐπὶ χοίνικος καθίσαι’
account and not it to-step-over not on measure to-sit
ἤτοι φεύγειν ἀργίαν καὶ προνοεῖν ὅπως τὴν ἀναγκαίαν
that-is to-shun idleness and to-take-forethought how the necessary
παρασκευάσομεν τροφήν. ‘μὴ παντὶ ἐμβάλλειν δεξιάν’
we-shall-provide food not to-everyone to-throw-in right-hand
ἀντὶ τοῦ προχείρως οὐ δεῖ συναλλάσσειν. ‘μὴ φορεῖν
instead-of the readily not one-must to-make-contracts not to-wear
στενὸν δακτύλιον,’ ὅτι δεῖ τὸν βίον ἐπιτηδεύειν ὡς μὴ δεῖν
narrow ring that one-must the life to-pursue so-as not to-bind
αὐτόν. ‘πῦρ σιδήρῳ μὴ σκαλεύειν,’ ἀντὶ τοῦ θυμούμενον μὴ
it fire with-iron not to-stir instead-of the angry-man not
ἐρεθίζειν· οὐ γὰρ προσῆκεν, ἀλλ’ ὑπείκειν τοῖς ὀργιζομένοις.
to-provoke not for it-befits but to-yield to-the angry
‘μὴ ἐσθίειν καρδίαν’ ἤτοι μὴ βλάπτειν τὴν ψυχὴν ταῖς
not to-eat heart that-is not to-harm the soul with-the
φροντίσιν αὐτὴν κατατρύχοντα. ‘κυάμων ἀπέχεσθαι’ ὅτι
anxieties it wearing-out from-beans to-abstain that
οὐ δεῖ πολιτεύεσθαι· κυαμευταὶ γὰρ ἦσαν ἔμπροσθεν
not one-must to-be-a-politician by-beans for were formerly
αἱ ψηφοφορίαι δι’ ὧν πέρας ἐπετίθεσαν ταῖς ἀρχαῖς.
the votings through which end they-set to-the offices
‘σιτίον εἰς ἀμίδα μὴ ἐμβάλλειν·’ ἐπισημαίνει γὰρ ὅτι εἰς
food into chamber-pot not to-throw indicates for that into
πονηρὰν ψυχὴν ἀστεῖον λόγον ἐμβάλλειν οὐ προσῆκεν· ὁ
wicked soul refined speech to-throw not it-befits the
μὲν γὰρ λόγος τροφὴ διανοίας ἐστί, τοῦτον δ’ ἀκάθαρτον
indeed for speech food of-mind is this but impure
ἡ πονηρία ποιεῖ τῶν ἀνθρώπων. ‘μὴ ἐπιστρέφεσθαι ἐπὶ
the wickedness makes of-the men not to-turn-back to
τοὺς ὅρους ἐλθόντας,’ τουτέστι μέλλοντας ἀποθνήσκειν καὶ
the boundaries having-come that-is being-about to-die and

τὸν ὅρον τοῦ βίου πλησίον ὄντα ὁρῶντας φέρειν εὐκόλως
the boundary of-the life near being seeing to-bear calmly
καὶ μὴ ἀθυμεῖν. ἀνακάμψω δ' ἐπὶ τὴν ἐξ ἀρχῆς τοῦ λόγου
and not to-be-dejected I-will-turn-back and to the from beginning of-the discourse
ὑπόθεσιν· ἁπάντων γὰρ ὅπερ ἔφην τῶν πονηρῶν ἀνθρώπων
subject from-all for as I-said the wicked men
ἀπάγειν δεῖ τοὺς παῖδας, μάλιστα δὲ τῶν κολάκων.
to-lead-away one-must the children most and from-the flatterers
ὅπερ γὰρ πολλάκις καὶ πρὸς πολλοὺς τῶν πατέρων διατελῶ
what for often also to many of-the fathers I-keep
λέγων, καὶ νῦν ἂν εἴποιμι. γένος οὐδέν ἐστιν ἐξωλέστερον
saying also now — I-would-say race none is more-pernicious
οὐδὲ μᾶλλον καὶ θᾶττον ἐκτραχηλίζον νεότητα τῶν
nor more and quicker ruining youth than-the
κολάκων, οἳ καὶ τοὺς πατέρας καὶ τοὺς παῖδας προρρίζους
flatterers who both the fathers and the children root-and-branch
ἐκτρίβουσι, τῶν μὲν τὸ γῆρας ἐπίλυπον, τῶν δὲ
wipe-out of-the(-ones) indeed the old-age grievous of-the(-others) and
τὴν νεότητα ποιοῦντες, τῶν δὲ συμβουλευμάτων δέλεαρ
the youth making of-the and counsels bait
ἀφύλακτον προτείνοντες τὴν ἡδονήν.
unguarded holding-out the pleasure
τοῖς παισὶ τῶν πλουσίων οἱ πατέρες νήφειν παραινοῦσιν
to-the children of-the rich the fathers to-be-sober advise
οἱ δὲ μεθύειν, σωφρονεῖν οἱ δ' ἀσελγαίνειν, φυλάττειν οἱ
they and to-be-drunk to-be-temperate they and to-be-licentious to-save they
δὲ δαπανᾶν, φιλεργεῖν οἱ δὲ ῥᾳθυμεῖν, 'στιγμὴ χρόνου
and to-spend to-be-industrious they and to-be-idle a-point of-time
πᾶς ἐστιν ὁ βίος' λέγοντες. 'ζῆν οὐ παραζῆν προσῆκε. τί
all is the life saying to-live not to-live-aside it-befits why
δὲ φροντιστέον ἡμῖν τῶν τοῦ πατρὸς ἀπειλῶν; κρονόληρος
and must-be-cared-for by-us of-the of-the father threats old-dotard

καὶ σοροδαίμων ἐστί, καὶ μετέωρον αὐτὸν ἀράμενοι τὴν
and coffin-bound he-is and aloft him having-lifted the
ταχίστην ἐξοίσομεν.' καθῆκε δέ τις καὶ χαμαιτύπην καὶ
quickest-way we-will-carry-out brought-in and someone also harlot and
προηγώγευσε γαμετήν, καὶ τὰ τῶν πατέρων ἐφόδια τοῦ
pandered wife and the of-the fathers provisions of-the
γήρως ἐσύλησε καὶ περιέκοψε. μιαρὸν τὸ φῦλον, ὑποκριταὶ
old-age robbed and plundered foul the tribe hypocrites
φιλίας, ἄγευστοι παρρησίας, πλουσίων μὲν κόλακες
of-friendship untasting of-frankness of-rich indeed flatterers
πενήτων δ' ὑπερόπται, ὡς ἐκ λυρικῆς τέχνης ἐπὶ τοὺς
of-poor but despisers as from lyric art to the
νέους ἀγόμενοι, σεσηρότες ὅθ' οἱ τρέφοντες γελῶσι, καὶ
young being-drawn grinning when those feeding-them laugh and
ψυχῆς ὑποβολιμαῖα καὶ νόθα μέρη βίου, πρὸς δὲ τὸ
of-soul supposititious and bastard parts of-life to and the
τῶν πλουσίων νεῦμα ζῶντες, τῇ τύχῃ μὲν ἐλεύθεροι,
of-the rich nod living in-the fortune indeed free
τῇ προαιρέσει δὲ δοῦλοι· ὅταν δὲ μὴ ὑβρίζωνται, τόθ'
in-the choice but slaves when but not they-are-insulted then
ὑβρίζεσθαι δοκοῦντες, ὅτι μάτην παρατρέφονται. ὥστ' εἴ
to-be-insulted thinking because in-vain they-are-fed-alongside so-that if
τῳ μέλει τῶν πατέρων τῆς τῶν τέκνων εὐαγωγίας,
to-anyone it-matters of-the fathers of-the of-the children good-upbringing
ἐκδιωκτέον τὰ μιαρὰ ταῦτα θρέμματα, ἐκδιωκτέον δ'
must-be-driven-out the foul these creatures must-be-driven-out and
οὐχ ἥκιστα καὶ τὰς τῶν συμφοιτητῶν μοχθηρίας· καὶ γὰρ
not least also the of-the fellow-pupils wickednesses and for
οὗτοι τὰς ἐπιεικεστάτας φύσεις ἱκανοὶ διαφθείρειν εἰσί.
these the most-reasonable natures able to-corrupt are

ταῦτα μὲν οὖν καλὰ καὶ συμφέροντα· ἃ δὲ μέλλω 18
these-things indeed then fine and beneficial what but I-am-about
λέγειν, ἀνθρώπινα. οὐδὲ γὰρ αὖ πάλιν τοὺς πατέρας
to-say human not-even for again in-turn the fathers
ἔγωγ' ἀξιῶ τελέως τραχεῖς καὶ σκληροὺς εἶναι τὴν
I think-it-right entirely harsh and hard to-be in-the
φύσιν, ἀλλὰ πολλαχοῦ καὶ συγχωρῆσαί τινα τῷ νεωτέρῳ
nature but in-many-places also to-concede some to-the younger
τῶν ἁμαρτημάτων, καὶ ἑαυτοὺς ἀναμιμνήσκειν ὅτι ἐγένοντο
of-the errors and themselves to-remind that they-were
νέοι. καὶ καθάπερ ἰατροὶ τὰ πικρὰ τῶν φαρμάκων τοῖς
young and as physicians the bitter of-the drugs with-the
γλυκέσι χυμοῖς καταμιγνύντες τὴν τέρψιν ἐπὶ τὸ συμφέρον
sweet juices mixing the delight to the beneficial
πάροδον εὗρον, οὕτω δεῖ τοὺς πατέρας τὴν τῶν
passage found so one-must the fathers the of-the
ἐπιτιμημάτων ἀποτομίαν τῇ πραότητι μιγνύναι, καὶ
rebukes severity with-the gentleness to-mix and
τοτὲ μὲν ταῖς ἐπιθυμίαις τῶν παίδων ἐφεῖναι καὶ χαλάσαι
at-times indeed to-the desires of-the children to-give-rein and to-slacken
τὰς ἡνίας, τοτὲ δ' αὖ πάλιν ἀντιτεῖναι, καὶ μάλιστα
the reins at-times and again in-turn to-pull-back and best
μὲν εὐκόλως φέρειν τὰς ἁμαρτίας, εἰ δὲ μή γε, πρὸς
indeed calmly to-bear the errors if but not at-least for
καιρὸν ὀργισθέντας ταχέως ἀποφλεγμῆναι. μᾶλλον γὰρ
the-moment having-grown-angry quickly to-cool more for
ὀξύθυμον εἶναι δεῖ τὸν πατέρα ἢ βαρύθυμον, ὡς τό
quick-tempered to-be one-must the father than sullen as the
γε δυσμενὲς καὶ δυσκατάλλακτον μισοτεκνίας οὐ μικρὸν
at-least hostile and implacable of-hatred-of-children not small
τεκμήριόν ἐστι. καλὸν δὲ καὶ ἔνια τῶν ἁμαρτημάτων
evidence is fine and also some of-the errors

μηδ᾽ εἰδέναι δοκεῖν, ἀλλὰ τὸ τοῦ γήρως ἀμβλυῶττον καὶ
not-even to-know to-seem but the of-the old-age dim-sighted and
δύσκωφον ἐπὶ τὰ γιγνόμενα μεταφέρειν, ὡς ἔνια τῶν
hardness-of-hearing to the happenings to-transfer so-as some of-the
πραττομένων ὁρῶντας μὴ ὁρᾶν καὶ μὴ ἀκούειν ἀκούοντας.
doings seeing not to-see and not to-hear hearing
φίλων ἁμαρτήματα φέρομεν· τί θαυμαστὸν εἰ τέκνων;
of-friends errors we-bear what marvelous if of-children
δούλων πολλάκις κραιπαλώντων μέθην οὐκ ἐξηλέγξαμεν.
of-slaves often drunk drunkenness not we-exposed
ἐφείσω ποτέ, ἀλλὰ καὶ χορήγησον· ἠγανάκτησάς ποτε,
you-were-stingy once but also supply-him you-were-indignant once
ἀλλὰ καὶ σύγγνωθι. ἐβουκόλησέ ποτε δι᾽ οἰκέτου· τὴν
but also forgive he-deceived once through servant the
ὀργὴν κάτασχε. ἐξ ἀγροῦ ποτε ζεῦγος ἀφείλετο, ἦλθέ
anger restrain from field once team he-took he-came
ποτε χθιζῆς μέθης ἀποπνέων, ἀγνόησον· μύρων
once from-yesterday's drunkenness smelling ignore-it of-perfumes
ὄζων, σίγησον. οὕτω σκιρτῶσα νεότης πωλοδαμνεῖται.
smelling be-silent so skittish youth is-broken-in

19 πειρατέον δὲ τοὺς τῶν ἡδονῶν ἥττους καὶ πρὸς τὰς
one-must-try and the to-the pleasures inferior and to the
ἐπιτιμήσεις δυσηκόους γάμῳ καταζεῦξαι, δεσμὸς γὰρ οὗτος
rebukes hard-of-hearing to-marriage to-yoke bond for this
τῆς νεότητος ἀσφαλέστατος. ἐγγυᾶσθαι δὲ δεῖ τοῖς υἱέσι
of-the youth most-secure to-betroth but one-must to-the sons
γυναῖκας μήτ᾽ εὐγενεστέρας πολλῷ μήτε πλουσιωτέρας·
wives neither nobler by-much nor richer
τὸ γὰρ ‘τὴν κατὰ σαυτὸν ἔλα᾽ σοφόν. ὡς οἵ γε
the for the according-to yourself drive wise as those at-least

μακρῷ κρείττους ἑαυτῶν λαμβάνοντες οὐ τῶν γυναικῶν
by-far better than-themselves taking not of-the wives
ἄνδρες, τῶν δὲ προικῶν δοῦλοι λανθάνουσι γιγνόμενοι.
husbands of-the but dowries slaves escape-notice becoming
βραχέα δὲ προσθεὶς ἔτι περιγράψω τὰς ὑποθήκας. πρὸ
few-things and having-added further I-will-sum-up the counsels before
πάντων γὰρ δεῖ τοὺς πατέρας τῷ μηδὲν ἁμαρτάνειν
all for one-must the fathers by-the nothing to-err
ἀλλὰ πάνθ' ἃ δεῖ πράττειν ἐναργὲς αὑτοὺς παράδειγμα
but all-things which one-must to-do clear themselves example
τοῖς τέκνοις παρέχειν, ἵνα πρὸς τὸν τούτων βίον ὥσπερ
to-the children to-provide so-that to the of-these life as-if
κάτοπτρον ἀποβλέποντες ἀποτρέπωνται τῶν αἰσχρῶν
mirror looking they-may-be-turned-away from-the shameful
ἔργων καὶ λόγων. ὡς οἵτινες τοῖς ἁμαρτάνουσιν υἱοῖς
deeds and words as those-who to-the erring sons
ἐπιτιμῶντες τοῖς αὐτοῖς ἁμαρτήμασι περιπίπτουσιν, ἐπὶ
rebuking to-the same errors fall-into under
τῷ ἐκείνων ὀνόματι λανθάνουσιν ἑαυτῶν κατήγοροι
the of-those name escape-notice of-themselves accusers
γιγνόμενοι· τὸ δ' ὅλον φαύλως ζῶντες οὐδὲ τοῖς δούλοις
becoming the and whole basely living not-even to-the slaves
παρρησίαν ἄγουσιν ἐπιτιμᾶν, μὴ τί γε τοῖς υἱοῖς. χωρὶς
frankness bring to-rebuke not to-say at-least to-the sons apart
δὲ τούτων γένοιντ' ἂν αὐτοῖς τῶν ἀδικημάτων σύμβουλοι
and these would-become — to-them of-the wrongdoings counselors
καὶ διδάσκαλοι. ὅπου γὰρ γέροντές εἰσιν ἀναίσχυντοι,
and teachers where for old-men are shameless
ἐνταῦθ' ἀνάγκη καὶ νέους ἀναιδεστάτους εἶναι. πειρατέον
there necessity also young-men most-impudent to-be one-must-try
οὖν εἰς τὸν τῶν τέκνων σωφρονισμὸν πάνθ' ὅσα
then for the of-the children chastening all-things as-many-as

προσῆκεν ἐπιτηδεύειν, ζηλώσαντας Εὐρυδίκην, ἥτις Ἰλλυρὶς
befits to-practice having-emulated Eurydice who Illyrian
οὖσα καὶ τριβάρβαρος, ὅμως ἐπὶ τῇ μαθήσει τῶν τέκνων
being and thrice-barbarian nevertheless for the learning of-the children
ὀψὲ τῆς ἡλικίας ἥψατο παιδείας. ἱκανῶς δ' αὐτῆς τὴν
late in-the life took-up education sufficiently and her the
φιλοτεκνίαν σημαίνει τοὐπίγραμμα, ὅπερ ἀνέθηκε Μούσαις
love-of-children indicates the-epigram which she-dedicated to-the-Muses

Εὐρυδίκη Ἱεραπολιῆτις τόνδ' ἀνέθηκε
Eurydice of-Hierapolis this dedicated
Μούσαις εὔιστον ψυχῇ ἑλοῦσα πόθον.
to-the-Muses well-known in-soul having-taken desire
γράμματα γὰρ μνημεῖα λόγων μήτηρ γεγαυῖα
letters for memorials of-words mother having-become
παίδων ἡβώντων ἐξεπόνησε μαθεῖν.
of-children grown-to-youth labored to-learn

τὸ μὲν οὖν πάσας τὰς προειρημένας συμπεριλαβεῖν εὐχῆς
the indeed then all the things-said-before to-embrace of-prayer
ἴσως ἢ παραινέσεως ἔργον ἐστί· τὸ δὲ τὰς πλείους
perhaps or of-exhortation work is the but the most
ζηλῶσαι καὶ αὐτὸ μὲν εὐμοιρίας δεόμενόν ἐστι καὶ πολλῆς
to-emulate also itself indeed good-fortune needing is and much
ἐπιμελείας, ἀνυστὸν δ' οὖν ἀνθρωπίνῃ φύσει καθέστηκεν.
care achievable but then for-human nature is

PLUTARCH

ΠΕΡΙ ΤΗΣ ΗΘΙΚΗΣ ΑΡΕΤΗΣ

On Moral Virtue

ON MORAL VIRTUE

I · THE DOCTRINES AND THE TWO PARTS OF THE SOUL

Plutarch asks what moral virtue is, whose matter is passion and whose form is reason. Menedemus and Ariston made virtue one under many names, Zeno defined each virtue as prudence in its own field, and Chrysippus multiplied them into a swarm. The Stoics hold that the soul's ruling part is wholly reason and passion only reason gone wrong; but the soul is double, as Pythagoras' music and Plato's world soul show, its irrational part able to hear and obey reason, as Odysseus' eyes held back his tears. Habit shapes that part into character, and moral virtue is a mean among the passions, not freedom from them.

περὶ τῆς ἠθικῆς λεγομένης ἀρετῆς καὶ δοκούσης, ᾧ 1
about the moral so-called virtue and seeming by-which
δὴ μάλιστα τῆς θεωρητικῆς διαφέρει, τῷ τὸ μὲν
indeed most from-the contemplative it-differs by-the the indeed
πάθος ὕλην ἔχειν τὸν δὲ λόγον εἶδος, εἰπεῖν πρόκειται
passion as-matter to-have the and reason as-form to-speak it-is-proposed
τίν' οὐσίαν ἔχει καὶ πῶς ὑφίστασθαι πέφυκε· καὶ πότερον
what being it-has and how to-subsist it-is-its-nature and whether
οἰκείῳ λόγῳ κεκόσμηται τὸ δεδεγμένον μόριον αὐτὴν τῆς
by-its-own reason is-ordered the having-received part it of-the
ψυχῆς ἢ μετέσχηκεν ἀλλοτρίου· καὶ εἰ μετέσχηκε, πότερον
soul or has-shared in-foreign and if it-has-shared whether
ὡς τὰ μεμιγμένα πρὸς τὸ βέλτιον ἢ μᾶλλον ὡς ἐπιστασίᾳ
as the mixed with the better or rather as by-supervision
τινὶ χρώμενον καὶ ἀρχῇ μετέχειν λέγεται τῆς τοῦ ἄρχοντος
some using and by-rule to-share is-said in-the of-the ruling
δυνάμεως. ὅτι μὲν γὰρ δυνατὸν καὶ ἀρετὴν γεγονέναι καὶ
power that indeed for possible both virtue to-have-arisen and
μένειν παντάπασιν ἄυλον καὶ ἄκρατον, οἶμαι δῆλον εἶναι.
to-remain altogether immaterial and unmixed I-think clear to-be

βέλτιον δὲ βραχέως ἐπιδραμεῖν καὶ τὰ τῶν ἑτέρων,
better but briefly to-run-over also the(-views) of-the others
οὐχ ἱστορίας ἕνεκα μᾶλλον ἢ τοῦ σαφέστερα γενέσθαι
not of-inquiry for-the-sake more than of-the clearer to-become
τὰ οἰκεῖα καὶ βεβαιότερα, προεκτεθέντων ἐκείνων.
the one's-own and firmer having-been-set-out-first those

2 Μενέδημος μὲν ὁ ἐξ Ἐρετρίας ἀνῄρει τῶν ἀρετῶν καὶ
Menedemus indeed the from Eretria abolished of-the virtues both
τὸ πλῆθος καὶ τὰς διαφοράς, ὡς μιᾶς οὔσης καὶ χρωμένης
the number and the differences as one being and using
πολλοῖς ὀνόμασι· τὸ γὰρ αὐτὸ σωφροσύνην καὶ ἀνδρείαν
many names the for same-thing temperance and courage
καὶ δικαιοσύνην λέγεσθαι, καθάπερ βροτὸν καὶ ἄνθρωπον.
and justice to-be-called as mortal and man
Ἀρίστων δ' ὁ Χῖος τῇ μὲν οὐσίᾳ μίαν καὶ αὐτὸς ἀρετὴν
Ariston and the Chian in-the indeed essence one also himself virtue
ἐποίει καὶ ὑγίειαν ὠνόμαζε· τῷ δὲ πρὸς τί πως
made and health named by-the but toward something somehow
διαφόρους καὶ πλείονας, ὡς εἴ τις ἐθέλοι τὴν ὅρασιν ἡμῶν
different and more as if one should-wish the sight our
λευκῶν μὲν ἀντιλαμβανομένην λευκοθέαν καλεῖν, μελάνων
white-things indeed apprehending white-seeing to-call of-black-things
δὲ μελανθέαν ἤ τι τοιοῦτον ἕτερον. καὶ γὰρ ἡ ἀρετὴ
but black-seeing or something such other and for the virtue
ποιητέα μὲν ἐπισκοποῦσα καὶ μὴ ποιητέα κέκληται
things-to-be-done indeed examining and not to-be-done is-called
φρόνησις, ἐπιθυμίαν δὲ κοσμοῦσα καὶ τὸ μέτριον καὶ τὸ
prudence desire but ordering and the moderate and the
εὔκαιρον ἐν ἡδοναῖς ὁρίζουσα σωφροσύνη, κοινωνήμασι δὲ καὶ
timely in pleasures defining temperance with-associations but and
συμβολαίοις ὁμιλοῦσα τοῖς πρὸς ἑτέρους δικαιοσύνη· καθάπερ
contracts dealing the with others justice as

τὸ μαχαίριον ἓν μέν ἐστιν ἄλλοτε δ' ἄλλο διαιρεῖ, καὶ
the knife one indeed is at-one-time and another-thing divides and
τὸ πῦρ ἐνεργεῖ περὶ ὕλας διαφόρους μιᾷ φύσει χρώμενον.
the fire acts on materials different one nature using
ἔοικε δὲ καὶ Ζήνων εἰς τοῦτό πως ὑποφέρεσθαι ὁ Κιτιεύς,
seems and also Zeno to this somehow to-be-carried the Citian
ὁριζόμενος τὴν φρόνησιν ἐν μὲν ἀπονεμητέοις δικαιοσύνην
defining the prudence in indeed things-to-be-distributed justice
ἐν δ' αἱρετέοις σωφροσύνην ἐν δ' ὑπομενετέοις ἀνδρείαν·
in and things-to-be-chosen temperance in and things-to-be-endured courage
ἀπολογούμενοι δ' ἀξιοῦσιν ἐν τούτοις τὴν ἐπιστήμην
defending-him and they-claim in these the knowledge
φρόνησιν ὑπὸ τοῦ Ζήνωνος ὠνομάσθαι. Χρύσιππος δὲ
prudence by — Zeno to-have-been-named Chrysippus but
κατὰ τὸ ποιὸν ἀρετὴν ἰδίαν ποιότητι συνίστασθαι
according-to the quality virtue particular by-quality to-be-constituted
νομίζων, ἔλαθεν ἑαυτὸν κατὰ τὸν Πλάτωνα ‘σμῆνος
thinking escaped-notice himself according-to — Plato swarm
ἀρετῶν' οὐ σύνηθες οὐδὲ γνώριμον ἐγείρας· ὡς γὰρ παρὰ
of-virtues not familiar nor known having-raised as for beside
τὸν ἀνδρεῖον ἀνδρείαν καὶ παρὰ τὸν πρᾶον πραότητα καὶ
the courageous courage and beside the gentle gentleness and
δικαιοσύνην παρὰ τὸν δίκαιον, οὕτω παρὰ τὸν χαρίεντα
justice beside the just so beside the graceful
χαριεντότητας καὶ παρὰ τὸν ἐσθλὸν ἐσθλότητας καὶ παρὰ
gracefulnesses and beside the noble noblenesses and beside
τὸν μέγαν μεγαλότητας καὶ παρὰ τὸν καλὸν καλότητας,
the great greatnesses and beside the fine finenesses
ἑτέρας τε τοιαύτας ἐπιδεξιότητας εὐαπαντησίας εὐτραπελίας
other and such dexterities affabilities wittinesses

ἀρετὰς τιθέμενος, πολλῶν καὶ ἀτόπων ὀνομάτων οὐδὲν
as-virtues positing with-many and strange names nothing
δεομένην ἐμπέπληκε φιλοσοφίαν.
needing has-filled philosophy

3 κοινῶς δ' ἅπαντες οὗτοι τὴν ἀρετὴν τοῦ ἡγεμονικοῦ τῆς
in-common and all these the virtue of-the ruling-part of-the
ψυχῆς διάθεσίν τινα καὶ δύναμιν γεγενημένην ὑπὸ λόγου,
soul disposition some and power having-arisen by reason
μᾶλλον δὲ λόγον οὖσαν αὐτὴν ὁμολογούμενον καὶ βέβαιον
rather and reason being itself consistent and firm
καὶ ἀμετάπτωτον ὑποτίθενται· καὶ νομίζουσιν οὐκ εἶναι
and unchangeable suppose and think not to-be
τὸ παθητικὸν καὶ ἄλογον διαφορᾷ τινι καὶ φύσει ψυχῆς
the passionate and irrational by-difference some and by-nature of-soul
τοῦ λογικοῦ διακεκριμένον, ἀλλὰ ταὐτὸ τῆς ψυχῆς μέρος,
from-the rational distinguished but the-same of-the soul part
ὃ δὴ καλοῦσι διάνοιαν καὶ ἡγεμονικόν, δι' ὅλου
which indeed they-call thought and ruling-part through whole
τρεπόμενον καὶ μεταβάλλον ἔν τε τοῖς πάθεσι καὶ ταῖς
turning and changing in both the passions and the
καθ' ἕξιν ἢ διάθεσιν μεταβολαῖς κακίαν τε γίγνεσθαι
according-to state or disposition changes vice both to-become
καὶ ἀρετήν, καὶ μηδὲν ἔχειν ἄλογον ἐν ἑαυτῷ· λέγεσθαι δ'
and virtue and nothing to-have irrational in itself to-be-called but
ἄλογον, ὅταν τῷ πλεονάζοντι τῆς ὁρμῆς ἰσχυρῷ γενομένῳ
irrational whenever by-the excess of-the impulse strong having-become
καὶ κρατήσαντι πρός τι τῶν ἀτόπων παρὰ τὸν
and having-prevailed toward something of-the strange-things contrary-to the
αἱροῦντα λόγον ἐκφέρηται· καὶ γὰρ τὸ πάθος εἶναι λόγον
choosing reason it-is-carried-away and for the passion to-be reason
πονηρὸν καὶ ἀκόλαστον ἐκ φαύλης καὶ διημαρτημένης
wicked and intemperate from base and erroneous

κρίσεως σφοδρότητα καὶ ῥώμην προσλαβούσης. ἔοικε
judgment vehemence and strength having-acquired seems
δὲ λαθεῖν τούτους ἅπαντας, ᾗ διττὸς ἡμῶν ὡς
and to-escape-notice these all how double of-us as
ἀληθῶς ἕκαστός ἐστι καὶ σύνθετος· τὴν γὰρ ἑτέραν
truly each-one is and composite the for other
διπλόην οὐ κατεῖδον, ἀλλὰ τὴν ψυχῆς καὶ σώματος μῖξιν
doubleness not they-perceived but the of-soul and of-body mixture
ἐμφανεστέραν οὖσαν· ὅτι δ᾽ αὐτῆς ἔστι τῆς ψυχῆς ἐν
more-evident being that but of-itself there-is of-the soul in
ἑαυτῇ σύνθετόν τι καὶ διφυὲς καὶ ἀνόμοιον, ὥσπερ
itself composite something and of-double-nature and unlike as-if
ἑτέρου σώματος τοῦ ἀλόγου πρὸς τὸν λόγον ἀνάγκῃ
of-another body the irrational with the reason by-necessity
τινὶ καὶ φύσει συμμιγέντος καὶ συναρμοσθέντος, εἰκὸς
some and by-nature mixed and fitted-together likely
μέν ἐστι μηδὲ Πυθαγόραν ἀγνοῆσαι, τεκμαιρομένοις
indeed it-is not-even Pythagoras to-have-been-ignorant to-those-judging
τῇ περὶ μουσικὴν σπουδῇ τοῦ ἀνδρός, ἣν ἐπηγάγετο
by-the about music zeal of-the man which he-brought-to
τῇ ψυχῇ κηλήσεως ἕνεκα καὶ παραμυθίας, ὡς οὐ πᾶν
the soul of-charming for-the-sake and of-consolation as not all
ἐχούσῃ διδασκαλίας καὶ μαθήματος ὑπήκοον οὐδὲ λόγῳ
having of-teaching and of-learning obedient nor by-reason
μεταβλητὸν ἐκ κακίας, ἀλλά τινος ἑτέρας πειθοῦς συνεργοῦ
changeable from vice but of-some other persuasion cooperating
καὶ πλάσεως καὶ τιθασεύσεως δεόμενον, εἰ μὴ παντάπασι
and of-molding and of-taming needing if not altogether
μέλλοι φιλοσοφίᾳ δυσμεταχείριστον εἶναι καὶ ἀπειθές.
it-were-to-be to-philosophy hard-to-handle to-be and disobedient

ἐμφανῶς μέντοι καὶ βεβαίως καὶ ἀναμφιδόξως Πλάτων
clearly however and firmly and indisputably Plato
συνεῖδεν, ὅτι τούτου γε τοῦ κόσμου τὸ ἔμψυχον οὐχ ἁπλοῦν
perceived that of-this at-least the world the animate not simple
οὐδ' ἀσύνθετον οὐδὲ μονοειδές ἐστιν, ἀλλ' ἐκ τῆς ταὐτοῦ καὶ
nor uncompounded nor uniform is but from the of-the-same and
τῆς τοῦ ἑτέρου μεμιγμένον δυνάμεως πῇ μὲν ἀεὶ κατὰ
the of-the other mixed power in-one-way indeed always in
ταὐτὰ κοσμεῖται καὶ περιπολεῖ μιᾷ τάξει κράτος ἐχούσῃ
the-same-ways is-ordered and revolves one order sovereignty having
χρώμενον, πῇ δ' εἴς τε κινήσεις καὶ κύκλους σχιζόμενον
using in-another and into both motions and circles split
ὑπεναντίους καὶ πλανητοὺς ἀρχὴν διαφορᾶς καὶ μεταβολῆς
contrary and wandering beginning of-difference and of-change
καὶ ἀνομοιότητος ἐνδίδωσι ταῖς περὶ γῆν φθοραῖς καὶ
and of-dissimilarity gives to-the about earth destructions and
γενέσεσιν· ἥ τ' ἀνθρώπου ψυχὴ μέρος ἤ τι μίμημα τῆς τοῦ
generations the and of-man soul part or some imitation of-the of-the
παντὸς οὖσα καὶ συνηρμοσμένη κατὰ λόγους καὶ ἀριθμοὺς
universe being and fitted-together according-to ratios and numbers
ἐοικότας ἐκείνοις οὐχ ἁπλῆ τίς ἐστιν οὐδ' ὁμοιοπαθής, ἀλλ'
like those not simple some is nor of-like-affections but
ἕτερον μὲν ἔχει τὸ νοερὸν καὶ λογιστικόν, ᾧ κρατεῖν
one indeed it-has the intelligent and rational to-which to-rule
τοῦ ἀνθρώπου κατὰ φύσιν καὶ ἄρχειν προσῆκόν ἐστιν·
the man according-to nature and to-command fitting is
ἕτερον δὲ τὸ παθητικὸν καὶ ἄλογον καὶ πολυπλανὲς καὶ
another and the passionate and irrational and much-wandering and
ἄτακτον ἐξ ἑαυτοῦ δεόμενον. οὗ πάλιν διχῇ μεριζομένου,
disorderly of itself needing of-which again in-two divided
τὸ μὲν ἀεὶ σώματι βουλόμενον συνεῖναι καὶ σῶμα
the(-one) indeed always with-body wishing to-be-with and body

θεραπεύειν πεφυκὸς ἐπιθυμητικὸν κέκληται, τὸ δ' ἔστι
to-serve born-to desiring is-called the(-other) and is
μὲν ᾗ τούτῳ προστιθέμενον, ἔστι δ' ᾗ τῷ
indeed in-which-way to-this attaching-itself is and in-which to-the
λογισμῷ παρέχον ἰσχὺν ἐπὶ τοῦτο καὶ δύναμιν, θυμοειδές.
reasoning providing strength for this and power spirited
ἀποδείκνυσι δὲ τὴν διαφορὰν μάλιστα τῇ τοῦ λογιζομένου
he-shows and the difference most by-the of-the reasoning
καὶ φρονοῦντος ἀντιβάσει πρὸς τὸ ἐπιθυμοῦν καὶ
and thinking opposition to the desiring and
θυμούμενον, ὡς τὸ ἕτερον εἶναι πολλάκις ἀπειθοῦν τε
being-angry as the other to-be often disobedient both
καὶ δυσμαχοῦν πρὸς τὸ βέλτιστον. ταύταις ἐχρήσατο ταῖς
and hard-to-fight against the best these used the
ἀρχαῖς ἐπὶ πλέον Ἀριστοτέλης, ὡς δῆλόν ἐστιν ἐξ ὧν
principles at more-length Aristotle as clear is from what
ἔγραψεν· ὕστερον δὲ τὸ μὲν θυμοειδὲς τῷ ἐπιθυμητικῷ
he-wrote later and the indeed spirited to-the desiring
προσένειμεν, ὡς ἐπιθυμίαν τινὰ τὸν θυμὸν ὄντα καὶ
he-assigned as desire a-kind the anger being and
ὄρεξιν ἀντιλυπήσεως. τῷ μέντοι παθητικῷ καὶ ἀλόγῳ
appetite for-retaliation to-the however passionate and irrational
μέχρι παντὸς ὡς διαφέροντι τοῦ λογιστικοῦ χρώμενος
to the-end as differing from-the rational using
διετέλεσεν, οὐχ ὅτι παντελῶς ἄλογόν ἐστιν ὥσπερ τὸ
he-continued not that entirely irrational it-is as the
αἰσθητικὸν ἢ τὸ θρεπτικὸν καὶ φυτικὸν τῆς ψυχῆς μέρος·
perceptive or the nutritive and vegetative of-the soul part
ἀλλὰ ταῦτα μὲν ὅλως ἀνήκοα λόγου καὶ κωφὰ τρόπον
but these indeed wholly deaf of-reason and dumb in-a-manner
τινὰ τῆς σαρκὸς ἐκβεβλάστηκε καὶ περὶ τὸ σῶμα
some from-the flesh have-sprouted and around the body

παντελῶς καταπέφυκε· τὸ δὲ παθητικὸν οἰκείου λόγου
entirely have-grown-down the but passionate of-its-own reason
στέρεται καὶ ἄμοιρόν ἐστιν, ἄλλως δὲ τοῦ λογιζομένου
is-deprived and without-share is otherwise but the reasoning
καὶ φρονοῦντος εἰσακούειν καὶ τρέπεσθαι πρὸς ἐκεῖνο καὶ
and thinking to-hearken and to-turn toward that and
ὑπείκειν καὶ κατασχηματίζεσθαι πέφυκεν, ἐὰν μὴ τέλεον ᾖ
to-yield and to-be-conformed is-born-to if not wholly it-be
διεφθαρμένον ὑφ' ἡδονῆς ἀμαθοῦς καὶ ἀκολάστου διαίτης.
corrupted by pleasure ignorant and intemperate way-of-life
4 οἱ δὲ θαυμάζοντες ὅπως ἄλογον μέν ἐστι λόγῳ δ'
the and wondering how irrational indeed it-is to-reason but
ὑπήκοον, οὔ μοι δοκοῦσι τοῦ λόγου περινοεῖν τὴν δύναμιν
obedient not to-me seem of-the reason to-comprehend the power

'ὅση πέφυκε κἀφ' ὅσον διέρχεται'
how-great it-is and-over how-far it-penetrates

τῷ κρατεῖν καὶ ἄγειν οὐ σκληραῖς οὐδ' ἀντιτύποις ἀγωγαῖς
in-the mastering and leading not by-harsh nor resistant leadings
ἀλλὰ τυπικαῖς καὶ τὸ ἐνδόσιμον καὶ πειθήνιον ἁπάσης
but by-impressing-ones and the yielding and docile than-all
ἀνάγκης καὶ βίας ἐχούσαις ἀνυσιμώτερον. ἐπεὶ καὶ πνεῦμα
compulsion and force having more-effective since even breath
δήπου καὶ νεῦρα καὶ ὀστᾶ καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος
surely and sinews and bones and the remaining parts of-the body
ἄλογ' ἐστίν, ἀλλ' ὅταν ὁρμὴ γένηται, σείσαντος ὥσπερ
irrational are but when impulse arises having-shaken as-it-were
ἡνίας τοῦ λογισμοῦ, πάντα τέταται καὶ συνῆκται καὶ
reins of-the reasoning all is-stretched and drawn-together and
ὑπακούει· καὶ πόδες τε θεῖν διανοηθέντος εὔτονοι καὶ χεῖρες
obeys and feet both to-run it-having-intended taut and hands

εἰς ἔργον καθίστανται βαλεῖν ἢ λαβεῖν ὁρμήσαντος. ἄριστα
to work are-set to-throw or to-take it-having-been-eager best
δ' ὁ ποιητὴς τὸ συμπαθοῦν καὶ συγκατασχηματιζόμενον
and the poet the sympathizing and conforming
τῷ λόγῳ τοῦ ἀλόγου παρίστησι διὰ τούτων
with-the reason of-the irrational presents through these

'ὣς τῆς τήκετο καλὰ παρήια δάκρυ χεούσης,
so of-her melted fair cheeks tear shedding
κλαιούσης ἐὸν ἄνδρα παρήμενον· αὐτὰρ Ὀδυσσεὺς
weeping her husband sitting-beside but Odysseus
θυμῷ μὲν γοόωσαν ἐὴν ἐλέαιρε γυναῖκα,
in-heart indeed lamenting his pitied wife
ὀφθαλμοὶ δ' ὡς εἰ κέρα ἔστασαν ἠὲ σίδηρος
eyes and as if horn stood or iron
ἀτρέμας ἐν βλεφάροισι, δόλῳ δ' ὅ γε δάκρυα ἔκευθεν.'
unmoving in eyelids by-craft and he at-least tears hid

οὕτως κατήκοον εἶχε τῆς κρίσεως καὶ τὸ πνεῦμα καὶ τὸ
so obedient he-had to-the judgment both the breath and the
αἷμα καὶ τὸ δάκρυον. δηλοῦσι δὲ καὶ παρὰ καλαῖς καὶ
blood and the tear show and also beside beautiful-women and
καλοῖς, ὧν οὐκ ἐᾷ λόγος οὐδὲ νόμος θιγεῖν, αἰδοίων
handsome-ones whom not allows reason nor law to-touch of-the-genitals
φυγαὶ καὶ ἀναχωρήσεις ἡσυχίαν ἀγόντων καὶ ἀτρεμούντων.
flights and withdrawals quiet keeping and keeping-still
ὃ μάλιστα συμβαίνει τοῖς ἐρῶσιν, εἶτ' ἀκούσασιν ὡς
which most happens to-those in-love then having-heard that
ἀδελφῆς ἐρῶντες ἢ θυγατρὸς ἠγνοήκασιν· ἅμα γὰρ ἔπτηξε
a-sister loving or daughter they-were-ignorant at-once for cowered
τὸ ἐπιθυμοῦν ἁψαμένου τοῦ λόγου καὶ τὸ σῶμα τὰ μέρη
the desiring having-touched the reason and the body the parts

συνευσχημονοῦντα τῇ κρίσει παρέσχε. σιτίοις γε μὴν
behaving-decently-with the judgment presented with-foods at-least indeed
πολλάκις καὶ ὄψοις μάλ' ἡδέως προσενεχθέντες ἂν αἴσθωνται
often and dainties very gladly having-been-brought-to if they-perceive
καὶ μάθωσιν αὑτοὺς τῶν μὴ καθαρῶν τι μηδὲ νομίμων
and learn themselves of-the not clean some nor lawful
ἐδηδοκότας, οὐ τῇ κρίσει μόνον ἐπιτίθεται τὸ λυποῦν καὶ
having-eaten not on-the judgment alone falls the grieving and
δάκνον, ἀλλὰ καὶ τὸ σῶμα τῇ δόξῃ συνδιατρεπόμενον καὶ
stinging but also the body with-the opinion being-turned-with and
ἀναπιμπλάμενον ἔμετοι καὶ ἀνατροπαὶ ναυτιώδεις ἴσχουσι.
being-filled vomitings and upsettings nauseous seize
δέδοικα δὲ μὴ δόξαιμι παντάπασιν ἐπαγωγὰ καὶ νεαρὰ τῷ
I-fear but lest I-seem altogether seductive and youthful in-the
λόγῳ περαίνειν, ψαλτήρια διεξιὼν καὶ λύρας καὶ πηκτίδας
argument to-accomplish harps going-through and lyres and pectides
καὶ αὐλούς, καὶ ὅσα μουσικῆς προσῳδὰ καὶ προσήγορα
and flutes and whatever of-music attuned and addressed
μηχανησαμένης ἀνθρωπίνοις πάθεσιν ἄψυχα συνήδεται καὶ
having-contrived to-human passions lifeless rejoice-with and
συνεπιθρηνεῖ καὶ συνᾴδει καὶ συνακολασταίνει, τὰς κρίσεις
lament-with and sing-with and riot-with the judgments
ἀναφέροντα καὶ τὰ πάθη καὶ τὰ ἤθη τῶν χρωμένων.
carrying-back and the passions and the characters of-the users
καίτοι καὶ Ζήνωνά φασιν εἰς θέατρον ἀνιόντα κιθαρῳδοῦντος
and-yet also Zeno they-say into theater going-up playing-the-lyre
Ἀμοιβέως πρὸς τοὺς μαθητὰς 'ἴωμεν' εἰπεῖν 'ὅπως
Amoebeus to the pupils let-us-go to-say so-that
καταμάθωμεν οἵαν ἔντερα καὶ νεῦρα καὶ ξύλα καὶ ὀστᾶ
we-may-learn what-kind guts and sinews and wood and bones
λόγου καὶ ἀριθμοῦ μετασχόντα καὶ τάξεως ἐμμέλειαν καὶ
of-reason and of-number having-shared and of-order harmony and

φωνὴν ἀφίησιν.᾽ ἀλλὰ ταῦτ᾽ ἐάσας, ἡδέως ἂν αὐτῶν
voice gives-forth but these-things having-let-go gladly — of-them
πυθοίμην, εἰ κύνας καὶ ἵππους καὶ ὄρνιθας οἰκουροὺς
I-would-inquire if dogs and horses and birds domestic
ὁρῶντες ἔθει καὶ τροφῇ καὶ διδασκαλίᾳ φωνάς τε συνετὰς
seeing by-habit and by-rearing and by-teaching voices both intelligent
καὶ πρὸς λόγον ὑπηκόους κινήσεις καὶ σχέσεις ἀποδιδόντας
and to reason obedient movements and postures rendering
καὶ πράξεις τὸ μέτριον καὶ τὸ χρήσιμον ἡμῖν ἐχούσας,
and actions the moderate and the useful for-us having
Ὁμήρου τ᾽ ἀκούοντες τὸν Ἀχιλλέα λέγοντος ‘ὀτρύνειν
of-Homer and hearing — Achilles saying to-urge-on
ἵππους τε καὶ ἀνέρας᾽ ἐπὶ τὴν μάχην, ἔτι θαυμάζουσι καὶ
horses both and men to the battle still wonder and
διαποροῦσιν εἰ τὸ θυμούμενον ἐν ἡμῖν καὶ ἐπιθυμοῦν
are-perplexed whether the being-angry in us both desiring
καὶ λυπούμενον καὶ ἡδόμενον ὑπακούειν τε τῷ φρονοῦντι
and grieving and taking-pleasure to-obey both the thinking
καὶ πάσχειν ὑπ᾽ αὐτοῦ καὶ συνδιατίθεσθαι πέφυκεν, οὐκ
and to-be-affected by it and to-be-disposed-with is-born-to not
ἀποικοῦν οὐδ᾽ ἀπεσχοινισμένον οὐδὲ πλασσόμενον ἔξωθεν
dwelling-apart nor cut-off nor molded from-outside
οὐδὲ τυπούμενον ἀνάγκαις τισὶν ἢ πληγαῖς, ἀλλὰ φύσει
nor stamped by-compulsions some or by-blows but by-nature
μὲν ἐξηρτημένον ἀεὶ δ᾽ ὁμιλοῦν καὶ συντρεφόμενον καὶ
indeed attached always and associating and reared-with and
ἀναπιμπλάμενον ὑπὸ συνηθείας. διὸ καὶ καλῶς ὠνόμασται
filled by habit therefore also well has-been-named
τὸ ἦθος· ἔστι μὲν γάρ, ὡς τύπῳ εἰπεῖν, ποιότης τοῦ
the character is indeed for as in-outline to-say quality of-the
ἀλόγου τὸ ἦθος· ὠνόμασται δ᾽ ὅτι τὴν ποιότητα
irrational the character it-has-been-named and because the quality

ταύτην καὶ τὴν διαφορὰν ἔθει λαμβάνει τὸ ἄλογον ὑπὸ
this and the difference by-habit receives the irrational by
τοῦ λόγου πλαττόμενον, οὐ βουλομένου τὸ πάθος ἐξαιρεῖν
the reason molded not wishing the passion to-remove
παντάπασιν (οὔτε γὰρ δυνατὸν οὔτ' ἄμεινον), ἀλλ' ὅρον
entirely neither for possible nor better but limit
τινὰ καὶ τάξιν ἐπιτιθέντος αὐτῷ καὶ τὰς ἠθικὰς ἀρετάς,
some and order imposing on-it and the moral virtues
οὐκ ἀπαθείας οὔσας ἀλλὰ συμμετρίας παθῶν καὶ
not freedoms-from-passion being but proportions of-passions and
μεσότητας, ἐμποιοῦντος· ἐμποιεῖ δὲ τῇ φρονήσει τὴν τοῦ
means producing it-produces and by-the prudence the of-the
παθητικοῦ δύναμιν εἰς ἕξιν ἀστείαν καθιστάς. τρία γὰρ
passionate power into state refined setting three for
δὴ ταῦτά φασι περὶ τὴν ψυχὴν ὑπάρχειν, δύναμιν πάθος
indeed these-things they-say about the soul to-exist power passion
ἕξιν. ἡ μὲν οὖν δύναμις ἀρχὴ καὶ ὕλη τοῦ πάθους, οἷον
state the indeed then power beginning and matter of-the passion such-as
ὀργιλότης αἰσχυντηλία θαρραλεότης· τὸ δὲ πάθος κίνησίς
irascibility bashfulness boldness the but passion movement
τις ἤδη τῆς δυνάμεως, οἷον ὀργὴ αἰδὼς θάρσος· ἡ δ'
some already of-the power such-as anger shame confidence the but
ἕξις ἰσχὺς καὶ κατασκευὴ τῆς περὶ τὸ ἄλογον δυνάμεως
state strength and constitution of-the about the irrational power
ἐξ ἔθους ἐγγιγνομένη, κακία μὲν ἂν φαύλως ἀρετὴ δ'
from habit arising vice indeed if badly virtue but
ἂν καλῶς ὑπὸ τοῦ λόγου παιδαγωγηθῇ τὸ πάθος.
if well by the reason it-be-trained the passion

Wisdom concerns what is always the same and needs no deliberation; prudence acts among changing things and so needs the passions' help, which reason trims to the mean, as harmony keeps the notes between too high and too low. So courage is the mean between cowardice and rashness. Continence differs from temperance, which shows the soul has two parts: the temperate man's desires obey willingly, the continent man's are dragged like Plato's unruly horse. The incontinent sees the right and is swept away, the licentious approves his own vice, as the poets' voices show, and Timon's verses on Anaxarchus make incontinence a sophist's fault.

ἐπεὶ δ' οὐ πᾶσαν ἀρετὴν μεσότητα ποιοῦσιν οὐδ' 5
since and not every virtue mean they-make nor
ἠθικὴν καλοῦσι, λεκτέον ἂν εἴη περὶ τῆς διαφορᾶς
moral they-call it-must-be-spoken — would-be about the difference
ἀρξαμένοις ἄνωθεν. ἔστι τοίνυν τῶν πραγμάτων
having-begun from-above there-are then of-the things
τὰ μὲν ἁπλῶς ἔχοντα τὰ δὲ πῶς ἔχοντα
the(-ones) indeed absolutely being the(-others) and somehow being
πρὸς ἡμᾶς· ἁπλῶς μὲν οὖν ἔχοντα, γῆ οὐρανὸς
toward us absolutely indeed then being earth heaven
ἄστρα θάλασσα· πῶς δ' ἔχοντα πρὸς ἡμᾶς, ἀγαθὸν
stars sea somehow and being toward us good
κακόν, αἱρετὸν φευκτόν, ἡδὺ ἀλγεινόν· ἀμφοῖν δὲ
bad to-be-chosen to-be-shunned pleasant painful of-both and
τοῦ λόγου θεωρητικοῦ ὄντος, τὸ μὲν περὶ τὰ
the reason contemplative being the(-one) indeed about the
ἁπλῶς ἔχοντα μόνον ἐπιστημονικὸν καὶ θεωρητικόν
absolutely being only scientific and contemplative
ἐστι· τὸ δ' ἐν τοῖς πῶς ἔχουσι πρὸς ἡμᾶς
is the(-other) and in the somehow being toward us
βουλευτικὸν καὶ πρακτικόν· ἀρετὴ δὲ τούτου μὲν
deliberative and practical virtue and of-this indeed

ἡ φρόνησις ἐκείνου δ' ἡ σοφία. διαφέρει δὲ
the prudence of-that and the wisdom differs and
σοφίας φρόνησις, ᾗ τοῦ θεωρητικοῦ πρὸς τὸ
from-wisdom prudence in-that of-the contemplative to the
πρακτικὸν καὶ παθητικὸν ὑποστροφῆς καὶ σχέσεώς
practical and passionate turning and relation
τινος γενομένης ὑφίσταται κατὰ λόγον ἡ φρόνησις.
some having-occurred subsists according-to reason the prudence
διὸ φρόνησις μὲν τύχης δεῖται, σοφία δ' οὐ
therefore prudence indeed fortune needs wisdom but not
δεῖται πρὸς τὸ οἰκεῖον τέλος οὐδὲ βουλῆς· ἔστι
needs for the own end nor deliberation it-is
γὰρ περὶ τὰ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως
for about the-things always in the-same-ways and likewise
ἔχοντα.
being
καὶ καθάπερ ὁ γεωμέτρης οὐ βουλεύεται περὶ τοῦ
and as the geometer not deliberates about the
τριγώνου, εἰ δυεῖν ὀρθαῖς ἴσας ἔχει τὰς ἐντὸς
triangle whether to-two right-angles equal it-has the interior
γωνίας ἀλλ' οἶδεν (αἱ γὰρ βουλαὶ περὶ τῶν
angles but he-knows the for deliberations about the
ἄλλοτ' ἄλλως ἐχόντων οὐ περὶ τῶν βεβαίων
at-different-times differently being not about the firm
καὶ ἀμεταπτώτων)· οὕτως ὁ θεωρητικὸς νοῦς περὶ
and unchangeable so the contemplative mind about
τὰ πρῶτα καὶ μόνιμα καὶ μίαν ἀεὶ φύσιν ἔχοντα
the first-things and permanent and one always nature having
μὴ δεχομένην μεταβολὰς ἐνεργῶν ἀπήλλακται τοῦ
not admitting changes being-active is-freed from-the
βουλεύεσθαι· τὴν δὲ φρόνησιν εἰς πράγματα πλάνης
deliberating the but prudence into affairs of-wandering

μεστὰ καὶ ταραχῆς καθιεῖσαν ἐπιμίγνυσθαι τοῖς
full and of-confusion descending to-mix with-the
τυχηροῖς πολλάκις ἀναγκαῖόν ἐστι καὶ τῷ βουλευτικῷ
fortuitous often necessary is and the deliberative
χρῆσθαι περὶ τῶν ἀδηλοτέρων, τῷ δὲ πρακτικῷ
to-use about the more-obscure-things the and practical
τὸ βουλευτικὸν ἐκδεχομένην ἐνεργεῖν ἤδη καὶ τοῦ
the deliberative taking-over to-act already also the
ἀλόγου συμπαρόντος καὶ συνεφελκομένου ταῖς κρίσεσιν.
irrational being-present-with and being-drawn-along with-the judgments
ὁρμῆς γὰρ δέονται· τὴν δ' ὁρμὴν τῷ πάθει
of-impulse for they-need the and impulse by-the passion
ποιεῖ τὸ ἦθος, λόγου δεομένην ὁρίζοντος, ὅπως
gives the character of-reason needing defining so-that
μετρία παρῇ καὶ μήθ' ὑπερβάλλῃ μήτ' ἐγκαταλείπῃ
moderate it-be-present and neither exceed nor fall-short-of
τὸν καιρόν. τὸ γὰρ δὴ παθητικὸν καὶ ἄλογον
the occasion the for indeed passionate and irrational
κινήσεσι χρῆται ταῖς μὲν ἄγαν σφοδραῖς καὶ
with-movements uses the(-ones) indeed too vehement and
ὀξείαις ταῖς δὲ μαλακωτέραις ἢ προσήκει καὶ
sharp the(-others) and softer than befits and
ἀργοτέραις.
slower
ὅθεν ἕκαστον ὧν πράττομεν ἀεὶ μοναχῶς μὲν
whence each of-what we-do always in-one-way indeed
κατορθοῦται πλεοναχῶς δ' ἁμαρτάνεται· τὸ γὰρ βαλεῖν
is-done-rightly in-many-ways but is-missed the for to-hit
τὸν σκοπὸν ἕν ἐστι καὶ ἁπλοῦν, ἀστοχοῦσι δ' ἄλλοτ'
the target one is and simple they-miss and at-different-times
ἄλλως, ὑπερβάλλοντες τὸ μέτριον ἢ προαπολείποντες.
differently exceeding the moderate or falling-short

τοῦτ᾽ οὖν τοῦ πρακτικοῦ λόγου κατὰ φύσιν ἔργον
this then of-the practical reason according-to nature work
ἐστί, τὸ ἐξαιρεῖν τὰς ἀμετρίας τῶν παθῶν καὶ
is the to-remove the excesses of-the passions and
πλημμελείας. ὅπου μὲν γὰρ ὑπ᾽ ἀρρωστίας καὶ
faults where indeed for through weakness and
μαλακίας ἢ δέους καὶ ὄκνου προενδίδωσιν ἡ ὁρμὴ
softness or of-fear and hesitation gives-way-early the impulse
καὶ προαπολείπει τὸ καλόν, ἐνταῦθα πάρεστιν ἐξεγείρων
and falls-short-of the fine there it-is-present rousing
καὶ ἀναρριπίζων· ὅπου δὲ πάλιν ἐκφέρεται ῥυεῖσα
and fanning where but again it-is-carried-away having-flowed
πολλὴ καὶ ἄτακτος, ἐκεῖ τὸ σφοδρὸν ἀφαιρεῖ καὶ
much and disorderly there the vehemence it-removes and
ἵστησιν. οὕτως δ᾽ ὁρίζων τὴν παθητικὴν κίνησιν ἐμποιεῖ
checks so and defining the passionate movement it-produces
τὰς ἠθικὰς ἀρετὰς περὶ τὸ ἄλογον, ἐλλείψεως καὶ
the moral virtues about the irrational of-deficiency and
ὑπερβολῆς μεσότητας οὔσας. οὐ γὰρ ἅπασαν ἀρετὴν
of-excess means being not for every virtue
μεσότητι γίγνεσθαι ῥητέον· ἀλλ᾽ ἡ μὲν ἀπροσδεὴς
by-a-mean to-come-about must-be-said but the(-one) indeed needing-nothing
τοῦ ἀλόγου καὶ περὶ τὸν εἰλικρινῆ καὶ ἀπαθῆ νοῦν
of-the irrational and about the pure and impassive mind
συνισταμένη σοφία καὶ φρόνησις αὐτοτελής τίς ἐστιν
constituted wisdom and prudence self-complete some is
ἀκρότης τοῦ λόγου καὶ δύναμις, ᾗ τὸ θειότατον
summit of-the reason and power by-which the most-divine
ἐγγίνεται τῆς ἐπιστήμης καὶ μακαριώτατον· ἡ
arises of-the knowledge and most-blessed the(-other)
δ᾽ ἀναγκαία διὰ τὸ σῶμα καὶ δεομένη νὴ Δία
and necessary because-of the body and needing by Zeus

τῆς παθητικῆς ὥσπερ ὀργανικῆς ὑπηρεσίας ἐπὶ τὸ
of-the passionate as-if instrumental service for the
πρακτικόν, οὐκ οὖσα φθορὰ τοῦ ἀλόγου τῆς ψυχῆς
practical not being destruction of-the irrational of-the soul
οὐδ' ἀναίρεσις ἀλλὰ τάξις καὶ διακόσμησις, ἀκρότης
nor removal but order and arrangement summit
μέν ἐστι τῇ δυνάμει καὶ τῇ ποιότητι, τῷ ποσῷ
indeed is in-the power and in-the quality in-the quantity
δὲ μεσότης γίγνεται τὸ ὑπερβάλλον ἐξαιροῦσα καὶ τὸ
but mean becomes the excess removing and the
ἐλλεῖπον.
deficient
ἐπεὶ δὲ πολλαχῶς τὸ μέσον (καὶ γὰρ τὸ κεκραμένον 6
since and in-many-ways the middle and for the blended
τῶν ἀκράτων μέσον, ὡς λευκοῦ καὶ μέλανος τὸ φαιόν·
of-the unmixed middle as of-white and black the gray
καὶ τὸ περιέχον καὶ περιεχόμενον τοῦ περιεχομένου
and the containing and contained of-the contained
καὶ περιέχοντος, ὡς τῶν δώδεκα καὶ τεττάρων τὰ
and containing as of-the twelve and four the
ὀκτώ· καὶ τὸ μηδετέρου τῶν ἄκρων μετέχον, ὡς
eight and the of-neither of-the extremes sharing as
ἀγαθοῦ καὶ κακοῦ τὸ ἀδιάφορον), τούτων μὲν οὐδενὶ
of-good and bad the indifferent of-these indeed in-none
τῶν τρόπων ἡ ἀρετὴ προσρητέα μεσότης. οὔτε γὰρ
of-the ways the virtue must-be-called mean neither for
μῖγμα τῶν κακιῶν ἐστιν οὔτ' ἐμπεριέχουσα τοὔλαττον
mixture of-the vices is nor containing the-less
ἐμπεριέχεται τῷ πλεονάζοντι τοῦ προσήκοντος· οὔτ'
is-contained by-the exceeding of-the fitting nor
ἀπήλλακται παντάπασι τῶν παθητικῶν ὁρμῶν, ἐν
is-freed entirely from-the passionate impulses in

αἷς τὸ μᾶλλον καὶ τὸ ἧττον ἐστι. γίγνεται δὲ
which the more and the less is it-becomes but
μεσότης καὶ λέγεται μάλιστα τῇ περὶ φθόγγους
mean and is-called most by-the about notes
καὶ ἁρμονίας ὁμοίως· ἐκείνη τε γὰρ ἐμμελὴς οὖσα
and harmonies likewise that both for harmonious being
φωνὴ καθάπερ ἡ νήτη καὶ ὑπάτη, τῆς μὲν
voice as the nete and hypate of-the(-one) indeed
τὴν ὀξύτητα τῆς δὲ τὴν βαρύτητα τὴν ἄγαν
the sharpness of-the(-other) and the heaviness the excessive
διαπέφευγεν· αὕτη τε κίνησις οὖσα καὶ δύναμις περὶ
has-escaped this both movement being and power about
τὸ ἄλογον, τὰς ἐκλύσεις καὶ τὰς ἐπιτάσεις καὶ ὅλως
the irrational the slackenings and the tensions and wholly
τὸ μᾶλλον καὶ τὸ ἧττον ἐξαιρεῖ τῆς ὁρμῆς, εἰς
the more and the less removes from-the impulse into
τὸ μέτριον καὶ ἀναμάρτητον καθιστᾶσα τῶν παθῶν
the moderate and faultless setting of-the passions
ἕκαστον.
each
αὐτίκα τὴν μὲν ἀνδρείαν μεσότητά φασιν εἶναι
for-instance the indeed courage mean they-say to-be
δειλίας καὶ θρασύτητος, ὧν ἡ μὲν ἔλλειψις
of-cowardice and of-rashness of-which the(-one) indeed deficiency
ἡ δ' ὑπερβολὴ τοῦ θυμοειδοῦς ἐστι· τὴν δ'
the(-other) and excess of-the spirited is the and
ἐλευθεριότητα μικρολογίας καὶ ἀσωτίας, πραότητα δ'
liberality of-stinginess and of-prodigality gentleness and
πρὸς ἀλλήλους· πρὸς δὲ τοὺς πολεμίους καὶ σάλπιγξι καὶ
toward one-another toward and the enemies both with-trumpets and
αὐλοῖς ἐπεγείρουσι καὶ αὔξουσι τὸ θυμοειδὲς καὶ μάχιμον.
with-flutes rouse and increase the spirited and warlike
οὐ γὰρ μόνον ἐν ποιήμασιν, ᾗ φησιν ὁ Πλάτων, τὸν
not for only in poems as says — Plato the
τεχνίτην καὶ διηκριβωμένον ὁ μουσόληπτος καὶ κατάσχετος
craftsman and precise the Muse-possessed and inspired
ἀποδείκνυσι γελοῖον, ἀλλὰ καὶ περὶ τὰς μάχας τὸ παθητικὸν
shows laughable but also about the battles the passionate

καὶ τὸ ἐνθουσιῶδες ἀνυπόστατόν ἐστι καὶ ἀήττητον· ὃ
and the enthusiastic irresistible is and invincible which
καὶ τοὺς θεοὺς Ὅμηρος ἐμποιεῖν φησι τοῖς ἀνθρώποις,
also the gods Homer to-implant says in-the men

‘ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν·’
so having-said breathed-in might great into-shepherd of-the-people

καὶ
and

‘οὐχ ὅ γ’ ἄνευθε θεοῦ τάδε μαίνεται·’
not he at-least without god these-things rages

καθάπερ ὅρμημα τῷ λογισμῷ καὶ ὄχημα τὸ πάθος
as impulse to-the reasoning and vehicle the passion
προστιθέντας. αὐτούς γε μὴν τούτους ὁρᾶν ἔστι
adding themselves at-least indeed these to-see it-is-possible
πολλάκις μὲν ἐπαίνοις τοὺς νέους παρορμῶντας πολλάκις
often indeed by-praises the young urging often
δὲ νουθεσίαις κολάζοντας· ὧν τῷ μὲν ἕπεται τὸ
and by-admonitions chastening of-which on-the(-one) indeed follows the
ἥδεσθαι τῷ δὲ τὸ λυπεῖσθαι· καὶ γὰρ ἡ νουθεσία
to-take-pleasure on-the(-other) and the to-be-grieved and for the admonition
καὶ ὁ ψόγος ἐμποιεῖ μετάνοιαν καὶ αἰσχύνην, ὧν τὸ
and the blame produces repentance and shame of-which the(-one)
μὲν λύπη τῷ γένει τὸ δὲ φόβος ἐστί· καὶ τούτοις
indeed pain in-the kind the(-other) and fear is and these
μάλιστα χρῶνται πρὸς τὰς ἐπανορθώσεις. ᾗ καὶ
most they-use for the corrections in-which-way also
Διογένης, ἐπαινουμένου Πλάτωνος, ‘τί δ’ ἐκεῖνος’ εἶπεν
Diogenes being-praised Plato what and he he-said

‘ἔχει σεμνόν, ὃς τοσοῦτον χρόνον φιλοσοφῶν οὐδένα
has dignified who so-long time philosophizing no-one
λελύπηκεν;’ οὐ γὰρ οὕτω τὰ μαθήματα φαίη τις ἄν, ὡς
has-pained not for so the studies would-say anyone — as
ἔλεγε Ξενοκράτης, λαβὰς εἶναι φιλοσοφίας, ὡς τὰ πάθη
said Xenocrates handles to-be of-philosophy as the passions
τῶν νέων, αἰσχύνην ἐπιθυμίαν μετάνοιαν ἡδονὴν λύπην
of-the young shame desire repentance pleasure pain
φιλοτιμίαν· ὧν ἐμμελῆ καὶ σωτήριον ἁφὴν ἁπτόμενος ὁ
ambition of-which harmonious and saving touch touching the
λόγος καὶ ὁ νόμος εἰς τὴν προσήκουσαν ὁδὸν ἀνυσίμως
reason and the law into the fitting road effectively
καθίστησι τὸν νέον. ὥστε μὴ κακῶς εἰπεῖν τὸν Λάκωνα
sets the young-man so-that not badly to-have-said the Laconian
παιδαγωγόν, ὅτι ποιήσει τὸν παῖδα τοῖς καλοῖς ἥδεσθαι
tutor that he-will-make the boy at-the fine-things to-take-pleasure
καὶ ἄχθεσθαι τοῖς αἰσχροῖς, οὗ μεῖζον οὐδέν ἐστιν οὐδὲ
and to-be-vexed at-the shameful-things than-which greater nothing is nor
κάλλιον ἀποφῆναι τέλος ἐλευθέρῳ προσηκούσης παιδείας.
finer to-declare end for-free-man befitting of-education

PLUTARCH

ΠΕΡΙ ΑΔΟΛΕΣΧΙΑΣ

On Talkativeness

ON TALKATIVENESS

I · THE TALKER WHO DOES NOT LISTEN

Philosophy's cure for talkativeness is speech, which needs hearers, but talkers hear no one, as if blaming nature for giving them one tongue and two ears, and repay whatever they hear many times over, like Olympia's seven-voiced colonnade. Everyone flees them, as Aristotle's retorts to a bore show, and though nature fenced the tongue behind the teeth, they are disbelieved even when truthful. The drunk babbles over wine, the talker everywhere, while Zeno, silent at a feast, sent the king word of an old man in Athens who could hold his tongue at a drinking party. Even Homer shuns repeating himself; and as forced wine turns to violence, speech used badly makes the talker hated.

δύσκολον μὲν ἀναλαμβάνει θεράπευμα καὶ χαλεπὸν ἡ 1
difficult indeed undertakes cure and hard the
φιλοσοφία τὴν ἀδολεσχίαν. τὸ γὰρ φάρμακον αὐτῆς,
philosophy the talkativeness the for remedy of-it
ὁ λόγος, ἀκουόντων ἐστίν· οἱ δ' ἀδόλεσχοι οὐδενὸς
the speech of-hearers is the but talkative no-one
ἀκούουσιν, ἀεὶ γὰρ λαλοῦσι. καὶ τοῦτ' ἔχει πρῶτον κακὸν
hear always for they-chatter and this has first evil
ἡ ἀσιγησία, τὴν ἀνηκοΐαν. κωφότης γὰρ αὐθαίρετός
the not-keeping-silent the not-listening deafness for self-chosen
ἐστιν, ἀνθρώπων οἶμαι μεμφομένων τὴν φύσιν, ὅτι μίαν
is of-men I-think blaming the nature that one
μὲν γλῶτταν δύο δ' ὦτ' ἔχουσιν. εἴπερ οὖν ὁ Εὐριπίδης
indeed tongue two but ears they-have if then — Euripides
καλῶς εἶπε πρὸς τὸν ἀσύνετον ἀκροατὴν
well said to the unintelligent listener

‘οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι,
not — I-could not holding to-fill
σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους·’
wise pouring-in to-man not wise words

δικαιότερον ἄν τις εἴποι πρὸς τὸν ἀδόλεσχον
more-justly — anyone would-say to the talker

‘οὐκ ἂν δυναίμην μὴ δεχόμενον πιμπλάναι,
not — I-could not receiving to-fill
σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους·’
wise pouring-in to-man not wise words

μᾶλλον δὲ περιαντλῶν λόγους ἀνθρώπῳ λαλοῦντι μὲν πρὸς
rather and pouring-round words to-man chattering indeed to
τοὺς οὐκ ἀκούοντας, μὴ ἀκούοντι δὲ τῶν λαλούντων. καὶ γὰρ
the not listening not listening but to-the chattering and for
ἂν ἀκούσῃ τι βραχύ, τῆς ἀδολεσχίας ὥσπερ ἄμπωτιν
if he-hear something brief the talkativeness as-if ebb
λαβούσης, τοῦτο παραχρῆμα πολλαπλάσιον ἀνταποδίδωσι.
having-taken this at-once many-times-over pays-back
τὴν μὲν γὰρ ἐν Ὀλυμπίᾳ στοὰν ἀπὸ μιᾶς φωνῆς πολλὰς
the indeed for at Olympia colonnade from one voice many
ἀντανακλάσεις ποιοῦσαν ἑπτάφωνον καλοῦσι· τῆς δ’
echoes making seven-voiced they-call of-the but
ἀδολεσχίας ἂν ἐλάχιστος ἅψηται λόγος, εὐθὺς ἀντιπεριηχεῖ
talkativeness if smallest touch word at-once it-resounds-around

‘κινοῦσα χορδὰς τὰς ἀκινήτους φρενῶν.’
moving strings the unmoved of-the-wits

μήποτε γὰρ αὐτοῖς οὐκ εἰς τὴν ψυχὴν ἀλλ' εἰς τὴν
perhaps for for-them not into the soul but into the
γλῶτταν ἡ ἀκοὴ συντέτρηται. διὸ τοῖς μὲν ἄλλοις
tongue the hearing is-bored-through therefore in-the indeed others
ἐμμένουσιν οἱ λόγοι, τῶν δ' ἀδολέσχων διαρρέουσιν· εἶθ'
remain the words of-the but talkative flow-through then
ὥσπερ ἀγγεῖα κενοὶ φρενῶν ἦχου δὲ μεστοὶ περιίασιν.
as vessels empty of-wits of-noise but full they-go-about
εἰ δ' οὖν δοκεῖ πείρας μηδὲν ἐλλελεῖφθαι, εἴπωμεν πρὸς 2
if but then it-seems of-attempt nothing to-be-left-out let-us-say to
τὸν ἀδόλεσχον
the talker

'ὦ παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά·'
O boy be-silent many-things has silence fine

δύο δὲ τὰ πρῶτα καὶ μέγιστα, τὸ ἀκοῦσαι καὶ ἀκουσθῆναι·
two and the first and greatest the to-hear and to-be-heard
ὧν οὐδ' ἑτέρου τυχεῖν ἐγγίγνεται τοῖς ἀδολέσχοις,
of-which not-even the-one to-obtain befalls the talkative
ἀλλὰ καὶ περὶ αὐτὴν τὴν ἐπιθυμίαν ἀποδυσπετοῦσι. τοῖς
but even about very the desire they-are-frustrated in-the
μὲν γὰρ ἄλλοις νοσήμασι τῆς ψυχῆς, οἷον φιλαργυρίᾳ
indeed for other diseases of-the soul such-as love-of-money
φιλοδοξίᾳ φιληδονίᾳ, τὸ γοῦν τυγχάνειν ὧν ἐφίενται
love-of-glory love-of-pleasure the at-least to-obtain what they-aim-at
περίεστι· τοῖς δ' ἀδολέσχοις τοῦτο συμβαίνει χαλεπώτατον,
results for-the but talkative this happens hardest
ἐπιθυμοῦντες γὰρ ἀκροατῶν οὐ τυγχάνουσιν, ἀλλὰ πᾶς
desiring for listeners not they-obtain but everyone
φεύγει προτροπάδην· κἂν ἐν ἡμικυκλίῳ τινὶ καθεζόμενοι,
flees headlong and-if in semicircle some sitting

κἂν περιπατοῦντες ἐν ταὐτῷ θεάσωνται προσφοιτῶντα,
and-if walking in the-same-place they-see him-approaching
ταχέως ἀνάζευξιν αὐτοῖς παρεγγυῶσι. καὶ καθάπερ ὅταν
quickly departure to-themselves they-pass-the-word and as when
ἐν συλλόγῳ τινὶ σιωπὴ γένηται, τὸν Ἑρμῆν ἐπεισεληλυθέναι
in gathering some silence occurs — Hermes to-have-come-in
λέγουσιν, οὕτως ὅταν εἰς συμπόσιον ἢ συνέδριον γνωρίμων
they-say so when into banquet or council of-acquaintances
λάλος εἰσέλθῃ, πάντες ἀποσιωπῶσι μὴ βουλόμενοι λαβὴν
chatterer enters all fall-silent not wishing a-handle
παρασχεῖν· ἂν δ' αὐτὸς ἄρξηται διαίρειν τὸ στόμα
to-give if but he-himself begin to-open the mouth

'πρὸ χείματος ὥστ' ἀνὰ ποντίαν ἄκραν
before storm as at sea headland
βορέου πνέοντος'
Boreas blowing

ὑφορώμενοι σάλον καὶ ναυτίαν ἐξανέστησαν. ὅθεν αὐτοῖς
suspecting tossing and seasickness they-got-up whence for-them
συμβαίνει μήτε παρὰ δεῖπνον συγκλιτῶν μήτε συσκήνων
it-happens neither at dinner fellow-diners nor tent-mates
τυγχάνειν προθύμων, ὅταν ὁδοιπορῶσιν ἢ πλέωσιν, ἀλλ'
to-find eager when they-travel or sail but
ἀναγκαστῶν· πρόσκειται γὰρ ἁπανταχοῦ, τῶν ἱματίων
compelled he-presses for everywhere of-the cloaks
ἀντιλαμβανόμενος, τοῦ γενείου, τὴν πλευρὰν θυροκοπῶν
taking-hold of-the beard the side knocking
τῇ χειρί·
with-the hand

‘πόδες δὴ κεῖθι τιμιώτατοι’
feet indeed there most-precious

κατὰ τὸν Ἀρχίλοχον, καὶ νὴ Δία κατὰ τὸν σοφὸν
according-to — Archilochus and by Zeus according-to the wise
Ἀριστοτέλην. καὶ γὰρ αὐτὸς ἐνοχλούμενος ὑπ’ ἀδολέσχου καὶ
Aristotle and for he-himself being-annoyed by talker and
κοπτόμενος ἀτόποις τισὶ διηγήμασι, πολλάκις αὐτοῦ λέγοντος
being-pounded with-strange some stories often him saying
‘οὐ θαυμαστόν, Ἀριστότελες;’ ‘οὐ τοῦτο’ φησί ‘θαυμαστόν,
not marvelous Aristotle not this he-says marvelous
ἀλλ’ εἴ τις πόδας ἔχων σὲ ὑπομένει.’ ἑτέρῳ δέ τινι τοιούτῳ
but if anyone feet having you endures to-another and some such
μετὰ πολλοὺς λόγους εἰπόντι ‘κατηδολέσχηκά σου, φιλόσοφε·’
after many words having-said I-have-talked-to-death you philosopher
‘μὰ Δί’ εἶπεν ‘οὐ γὰρ προσεῖχον.’ καὶ γὰρ ἂν βιάσωνται
by Zeus he-said not for I-was-paying-attention and for if they-force
λαλεῖν οἱ ἀδόλεσχοι, παρέδωκεν αὐτοῖς ἡ ψυχὴ τὰ ὦτα
to-chatter the talkative handed-over to-them the soul the ears
περιαντλεῖν ἔξωθεν, αὐτὴ δ’ ἐντὸς ἑτέρας τινὰς ἀναπτύσσει
to-pour-round outside itself but inside other some unfolds
καὶ διέξεισι πρὸς αὑτὴν φροντίδας· ὅθεν οὔτε προσεχόντων
and goes-through to itself thoughts whence neither attending
οὔτε πιστευόντων ἀκροατῶν εὐποροῦσι. τῶν μὲν γὰρ πρὸς
nor believing listeners they-find of-the indeed for toward
τὰς συνουσίας εὐκαταφόρων ἄγονον εἶναι τὸ σπέρμα λέγουσι,
the intercourse prone barren to-be the seed they-say
τῶν δ’ ἀδολέσχων ὁ λόγος ἀτελὴς καὶ ἄκαρπός ἐστι.
of-the but talkative the speech incomplete and fruitless is

3 καίτοι γ' οὐδὲν οὕτως ἡ φύσις εὐερκῶς κεχαράκωκε
and-yet at-least nothing so the nature securely has-fenced
τῶν ἐν ἡμῖν ὡς τὴν γλῶτταν, βαλομένη φρουρὰν πρὸ
of-the-things in us as the tongue having-placed guard before
αὐτῆς τοὺς ὀδόντας, ἵν', ἐὰν ἐντὸς κατατείνοντος 'ἡνία
it the teeth so-that if within straining reins
σιγαλόεντα' τοῦ λογισμοῦ μὴ ὑπακούῃ μηδ' ἀνειλῆται,
silent of-the reasoning not it-obey nor is-drawn-back
δήγμασιν αὐτῆς κατέχωμεν τὴν ἀκρασίαν αἱμάττοντες.
by-bites its we-may-restrain the incontinence making-it-bleed
'ἀχαλίνων' γὰρ οὐ ταμιείων οὐδ' οἰκημάτων ἀλλὰ 'στομάτων
of-unbridled for not storerooms nor dwellings but of-mouths
τὸ τέλος δυστυχίαν' ὁ Εὐριπίδης φησίν. οἱ δ' οἰκημάτων
the end misfortune — Euripides says those and of-dwellings
μὲν ἀθύρων καὶ βαλλαντίων ἀδέσμων μηδὲν ὄφελος
indeed doorless and of-purses unbound no benefit
οἰόμενοι τοῖς κεκτημένοις εἶναι, στόμασι δ' ἀκλείστοις καὶ
thinking to-the possessors to-be with-mouths but unclosed and
ἀθύροις ὥσπερ τὸ τοῦ Πόντου διὰ παντὸς ἔξω ῥέουσι
doorless as the — of-Pontus through all outward flowing
χρώμενοι, πάντων ἀτιμότατον ἡγεῖσθαι τὸν λόγον ἐοίκασιν.
using of-all most-worthless to-consider the speech they-seem
ὅθεν οὐδὲ πίστιν ἔχουσιν ἧς πᾶς λόγος ἐφίεται· τὸ γὰρ
whence not-even belief they-have which every speech aims-at the for
οἰκεῖον αὐτοῦ τέλος τοῦτ' ἐστί, πίστιν ἐνεργάσασθαι τοῖς
proper its end this is belief to-produce in-the
ἀκούουσιν· ἀπιστοῦνται δ' οἱ λάλοι, κἂν ἀληθεύωσιν.
hearers are-disbelieved and the chatterers even-if they-tell-the-truth
ὥσπερ γὰρ ὁ πυρὸς εἰς ἀγγεῖον κατακλεισθείς, τῷ μὲν
as for the wheat into vessel shut-up in-the indeed
μέτρῳ πλείων εὑρίσκεται τῇ δὲ χρείᾳ μοχθηρότερος,
measure more is-found in-the but use worse

οὕτω λόγος εἰς ἀδόλεσχον ἐμπεσὼν ἄνθρωπον πολὺ ποιεῖ
so speech into talkative falling man much makes
τοῦ ψεύδους ἐπίμετρον, ᾧ διαφθείρει τὴν πίστιν.
of-the falsehood addition by-which it-destroys the belief
ἔτι τοίνυν τὸ μεθύειν πᾶς ἄνθρωπος αἰδήμων καὶ 4
further then the to-be-drunk every man modest and
κόσμιος φυλάξαιτ᾽ ἄν· μανίᾳ γὰρ ὁμότοιχος μὲν ἡ
orderly would-guard-against — to-madness for next-door indeed the
ὀργὴ κατ᾽ ἐνίους ἡ δὲ μέθη σύνοικος· μᾶλλον δὲ
anger according-to some the but drunkenness housemate rather and
μανία τῷ μὲν χρόνῳ ἧττων, τῇ δ᾽ αἰτίᾳ μείζων, ὅτι
madness in-the indeed time less in-the but cause greater because
τὸ αὐθαίρετον αὐτῇ πρόσεστι. τῆς δὲ μέθης οὐδὲν οὕτω
the self-chosen to-it is-attached of-the but drunkenness nothing so
κατηγοροῦσιν ὡς τὸ περὶ τοὺς λόγους ἀκρατὲς καὶ ἀόριστον·
they-accuse as the about the words incontinent and boundless

‘οἶνος γάρ τ᾽ ἐφέηκε πολύφρονά περ μάλ᾽ ἀείσαι,
wine for — sets-on much-thinking even very to-sing
καί θ᾽ ἁπαλὸν γελάσαι καί τ᾽ ὀρχήσασθαι ἀνῆκε.’
and — softly to-laugh and — to-dance sends-up

καίτοι τὸ δεινότατον, ᾠδὴ καὶ γέλως καὶ ὄρχησις, οὐδὲν
and-yet the most-terrible song and laughter and dancing nothing
ἄχρι τούτων.
as-far-as these

‘καί τι ἔπος προέηκεν, ὅπερ τ’ ἄρρητον ἄμεινον’
and some word sends-forth which — unspoken better

τοῦτ’ ἤδη δεινὸν καὶ ἐπικίνδυνον· καὶ μή ποτε τὸ
this already terrible and dangerous and perhaps ever the
ζητούμενον παρὰ τοῖς φιλοσόφοις λύων ὁ ποιητὴς
sought among the philosophers solving the poet
οἰνώσεως καὶ μέθης διαφορὰν εἴρηκεν, οἰνώσεως μὲν
of-wine-cheer and of-drunkenness difference has-stated of-wine-cheer indeed
ἄνεσιν μέθης δὲ φλυαρίαν. τὸ γὰρ ἐν τῇ καρδίᾳ τοῦ
relaxation of-drunkenness and nonsense the for in the heart of-the
νήφοντος ἐπὶ τῆς γλώττης ἐστὶ τοῦ μεθύοντος, ὡς οἱ
sober on the tongue is of-the drunk as the
παροιμιαζόμενοί φασιν. ὅθεν ὁ μὲν Βίας ἔν τινι πότῳ
proverb-users say whence — indeed Bias in some drinking-bout
σιωπῶν καὶ σκωπτόμενος εἰς ἀβελτερίαν ὑπό τινος
being-silent and being-mocked for silliness by some
ἀδολέσχου, ‘καὶ τίς ἄν’ ἔφη ‘δύναιτο μωρὸς ὢν ἐν οἴνῳ
talker and who — he-said could fool being in wine
σιωπᾶν;’ Ἀθήνησι δέ τις ἑστιῶν πρέσβεις βασιλικοὺς
be-silent at-Athens and someone entertaining envoys royal
ἐφιλοτιμήθη σπουδάζουσιν αὐτοῖς συναγαγεῖν εἰς ταὐτὸ τοὺς
was-ambitious being-eager for-them to-bring-together into the-same the
φιλοσόφους· χρωμένων δὲ τῶν ἄλλων κοινολογίᾳ καὶ τὰς
philosophers using and the others conversation and the
συμβολὰς ἀποδιδόντων, τοῦ δὲ Ζήνωνος ἡσυχίαν ἄγοντος,
contributions paying — but of-Zeno silence keeping
φιλοφρονησάμενοι καὶ προπιόντες οἱ ξένοι ‘περὶ σοῦ δὲ
having-pledged and having-toasted the strangers about you and
τί χρὴ λέγειν’ ἔφασαν ‘ὦ Ζήνων τῷ βασιλεῖ;’ κἀκεῖνος
what one-must to-say they-said O Zeno to-the king and-he

‘ἄλλο μηδέν’ εἶπεν ‘ἢ ὅτι πρεσβύτης ἐστὶν ἐν Ἀθήναις
other nothing he-said than that old-man is in Athens
παρὰ πότον σιωπᾶν δυνάμενος.’ οὕτω τι βαθὺ καὶ
at drinking to-be-silent able so something deep and
μυστηριῶδες ἡ σιγὴ καὶ νηφάλιον, ἡ δὲ μέθη λάλον·
mystic the silence and sober the but drunkenness talkative
ἄνουν γὰρ καὶ ὀλιγόφρον, διὰ τοῦτο καὶ πολύφωνον.
senseless for and of-little-mind because-of this also many-voiced
οἱ δὲ φιλόσοφοι καὶ ὁριζόμενοι τὴν μέθην λέγουσιν εἶναι
the and philosophers even defining the drunkenness say to-be
λήρησιν πάροινον· οὕτως οὐ ψέγεται τὸ πίνειν, εἰ προσείη
nonsense drunken so not is-blamed the drinking if should-be-added
τῷ πίνειν τὸ σιωπᾶν· ἀλλ’ ἡ μωρολογία μέθην ποιεῖ
to-the drinking the being-silent but the foolish-talk drunkenness makes
τὴν οἴνωσιν. ὁ μὲν οὖν μεθύων ληρεῖ παρ’ οἶνον, ὁ
the wine-cheer the indeed then drunk talks-nonsense over wine the
δ’ ἀδόλεσχος πανταχοῦ ληρεῖ, ἐν ἀγορᾷ ἐν θεάτρῳ ἐν
but talker everywhere talks-nonsense in market-place in theater in
περιπάτῳ ἐν μέθῃ μεθ’ ἡμέραν νύκτωρ· ἔστι δὲ θεραπεύων
walk in drunkenness by day by-night he-is and tending
τῆς νόσου βαρύτερος, συμπλέων τῆς ναυτίας ἀηδέστερος,
than-the disease more-grievous sailing-with than-the seasickness more-unpleasant
ἐπαινῶν τοῦ ψέγοντος ἐπαχθέστερος. ἥδιόν γέ τοι
praising than-the blaming more-burdensome more-pleasantly at-least surely
πονηροῖς ὁμιλοῦσιν ἐπιδεξίοις ἢ χρηστοῖς ἀδολέσχαις. ὁ
with-wicked we-associate clever than with-good talkers the
μὲν γὰρ Σοφοκλέους Νέστωρ τὸν Αἴαντα τραχυνόμενον
indeed for of-Sophocles Nestor — Ajax being-harsh
τῷ λόγῳ πραΰνων ἠθικῶς τοῦτ’ εἴρηκεν
in-the speech soothing in-character this said

‘οὐ μέμφομαί σε· δρῶν γὰρ εὖ κακῶς λέγεις·’
not I-blame you doing for well badly you-speak

πρὸς δὲ τὸν ἀδολέσχην οὐχ οὕτως ἔχομεν, ἀλλὰ πᾶσαν
toward but the talker not so we-are but every
ἔργου χάριν ἡ τῶν λόγων ἀκαιρία διαφθείρει καὶ
of-deed grace the of-the words untimeliness destroys and
ἀπόλλυσι.
ruins
Λυσίας τινὶ δίκην ἔχοντι λόγον συγγράψας ἔδωκεν· ὁ δὲ
Lysias for-someone lawsuit having speech having-composed gave he but
πολλάκις ἀναγνοὺς ἦκε πρὸς τὸν Λυσίαν ἀθυμῶν καὶ λέγων
often having-read came to — Lysias dejected and saying
τὸ μὲν πρῶτον αὐτῷ διεξιόντι θαυμαστὸν φανῆναι
the indeed first to-him going-through marvelous to-have-appeared
τὸν λόγον, αὖθις δὲ καὶ τρίτον ἀναλαμβάνοντι παντελῶς
the speech again but and a-third-time taking-it-up altogether
ἀμβλὺν καὶ ἄπρακτον· ὁ δὲ Λυσίας γελάσας ‘τί οὖν’
dull and ineffective — and Lysias having-laughed what then
εἶπεν ‘οὐχ ἅπαξ μέλλεις λέγειν αὐτὸν ἐπὶ τῶν δικαστῶν;’
he-said not once are-you-going to-speak it before the judges
καὶ σκόπει τὴν Λυσίου πειθὼ καὶ χάριν· κἀκεῖνον γάρ
and consider the of-Lysias persuasiveness and grace and-him for

‘ἐγώ φαμι ἰοπλοκάμων Μοισᾶν εὖ λαχεῖν.’
I say of-the-violet-haired Muses well to-have-obtained-a-lot

τῶν δὲ περὶ τοῦ ποιητοῦ λεγομένων ἀληθέστατόν
of-the and about the poet things-said truest
ἐστιν, ὅτι μόνος Ὅμηρος τῆς τῶν ἀνθρώπων ἀψικορίας
is that alone Homer of-the of-the men satiety

περιγέγονεν, ἀεὶ καινὸς ὢν καὶ πρὸς χάριν ἀκμάζων·
has-overcome always new being and for grace flourishing
ἀλλ' ὅμως εἰπὼν καὶ ἀναφωνήσας ἐκεῖνο περὶ αὑτοῦ, τὸ
but nevertheless having-said and having-proclaimed that about himself the

'ἐχθρὸν δέ μοί ἐστιν
hateful and to-me it-is
αὖτις ἀριζήλως εἰρημένα μυθολογεύειν,'
again clearly things-said to-tell-again

φεύγει καὶ φοβεῖται τὸν ἐφεδρεύοντα παντὶ λόγῳ κόρον,
he-flees and fears the lying-in-wait for-every speech satiety
εἰς ἄλλα ἐξ ἄλλων διηγήματα τὴν ἀκοὴν ἄγων καὶ
to other-things from others narratives the hearing leading and
τῇ καινότητι τὴν πλησμονὴν αὐτῆς παραμυθούμενος.
with-the novelty the surfeit its soothing
οἱ δ' ἀποκναίουσι δήπου τὰ ὦτα ταῖς ταυτολογίαις
those but wear-out surely the ears with-the repetitions
ὥσπερ παλίμψηστα διαμολύνοντες.
as-if palimpsests befouling
τοῦτο τοίνυν πρῶτον ὑπομιμνήσκωμεν αὐτούς, ὅτι, καθάπερ 6
this then first let-us-remind them that as
τὸν οἶνον ἡδονῆς ἕνεκα καὶ φιλοφροσύνης εὑρημένον
the wine for-pleasure's sake and of-good-cheer discovered
οἱ προσβιαζόμενοι πολὺν πίνειν καὶ ἄκρατον ἐνίους εἰς
those forcing much to-drink and unmixed some to
ἀηδίαν καὶ παροινίαν τρέπουσιν, οὕτω τὸν λόγον ἥδιστον
unpleasantness and drunken-violence turn so the speech sweetest
ὄντα καὶ φιλανθρωπότατον συμβόλαιον οἱ χρώμενοι
being and most-humane bond those using-it
κακῶς καὶ προχείρως ἀπάνθρωπον ποιοῦσι καὶ ἄμικτον,
badly and rashly inhuman make and unsociable

οἷς οἴονται χαρίζεσθαι λυποῦντες καὶ ἀφ' ὧν θαυμάζεσθαι
whom they-think to-gratify grieving and from what to-be-admired
καταγελώμενοι καὶ δι' ὧν φιλεῖσθαι δυσχεραινόμενοι.
being-laughed-at and through what to-be-loved being-disliked
ὥσπερ οὖν ὁ τῷ κεστῷ τοὺς ὁμιλοῦντας ἀποστρέφων
as then the(-one) with-the girdle the associates turning-away
καὶ ἀπελαύνων ἀναφρόδιτος, οὕτως τῷ λόγῳ λυπῶν
and driving-off charmless so with-the speech grieving
καὶ ἀπεχθανόμενος ἄμουσός τις καὶ ἄτεχνός ἐστι.
and incurring-hatred unmusical one and artless is

II · SECRETS BETRAYED

Talkativeness is ridiculed, hated, and dangerous. Anacharsis slept with his hand on his mouth; Athens fell to Sulla because old men chattered in a barber's shop about an unguarded wall, and Rome stayed under Nero because one man whispered to a prisoner. Zeno bit out his tongue, the courtesan Leaena kept the tyrannicides' secret under questioning, and Odysseus and his men held their tongues; Pittacus sent the king the tongue as the best and worst of meats. Antigonus, Metellus, and Eumenes kept their plans even from their own. A secret told to one spreads like a doubled number: a Roman's wife spread the portent he invented to test her, and Fulvius told his wife what Augustus had confided, she told Livia, and when Caesar knew, the wife killed herself before her husband.

7 τῶν δ' ἄλλων παθῶν καὶ νοσημάτων τὰ μέν ἐστιν
of-the and other passions and diseases the(-ones) indeed are
ἐπικίνδυνα τὰ δὲ μισητὰ τὰ δὲ καταγέλαστα,
dangerous the(-others) and hateful the(-others) and laughable
τῇ δ' ἀδολεσχίᾳ πάντα συμβέβηκε. χλευάζονται μὲν γὰρ
to-the but talkativeness all-things have-befallen they-are-mocked indeed for
ἐν ταῖς κοιναῖς διηγήσεσι, μισοῦνται δὲ διὰ τὰς τῶν
in the common narratives they-are-hated and because-of the of-the

κακῶν προσαγγελίας, κινδυνεύουσι δὲ τῶν ἀπορρήτων μὴ
evils announcements they-run-risks and the secrets not
κρατοῦντες, ὅθεν Ἀνάχαρσις ἑστιαθεὶς παρὰ Σόλωνι
mastering whence Anacharsis having-been-entertained with Solon
καὶ κοιμώμενος, ὤφθη τὴν μὲν ἀριστερὰν χεῖρα τοῖς
and sleeping was-seen the indeed left hand on-the
μορίοις τὴν δὲ δεξιὰν τῷ στόματι προσκειμένην ἔχων·
private-parts the but right on-the mouth placed having
ἐγκρατεστέρου γὰρ ᾤετο χαλινοῦ δεῖσθαι τὴν γλῶτταν,
of-a-stronger for he-thought bit to-need the tongue
ὀρθῶς οἰόμενος. οὐ γὰρ ἄν τις ἐξαριθμήσαιτο ῥᾳδίως
rightly thinking not for — anyone could-count easily
ἄνδρας τοσούτους ἀφροδισίων ἀκρασίᾳ πεπτωκότας, ὅσας
men so-many of-sexual-pleasures incontinence fallen as-many-as
πόλεις καὶ ἡγεμονίας λόγος ἐξενεχθεὶς ἀπόρρητος ἀναστάτους
cities and empires word carried-out secret ruined
ἐποίησε. Σύλλας ἐπολιόρκει τὰς Ἀθήνας, οὐκ ἔχων σχολὴν
made Sulla was-besieging the Athens not having leisure
ἐνδιατρῖψαι χρόνον πολὺν ‘ἐπεὶ πόνος ἄλλος ἔπειγεν,’
to-spend time much since toil other pressed
ἡρπακότος μὲν Ἀσίαν Μιθριδάτου τῶν δὲ περὶ Μάριον
having-seized indeed Asia Mithridates of-the and around Marius
αὖθις ἐν Ῥώμῃ κρατούντων· ἀλλὰ πρεσβυτῶν τινων ἐπὶ
again in Rome prevailing but old-men some at
κουρείου διαλεγομένων ὡς οὐ φυλάττεται τὸ Ἑπτάχαλκον καὶ
barber's-shop conversing that not is-guarded — Heptachalcon and
κινδυνεύει τὸ ἄστυ κατ’ ἐκεῖνο ληφθῆναι τὸ μέρος, ἀκούσαντες
runs-risk the city at that to-be-taken the part having-heard
οἱ κατάσκοποι πρὸς τὸν Σύλλαν ἐξήγγειλαν. ὁ δ’ εὐθὺς
the spies to — Sulla reported he and at-once
τὴν δύναμιν προσαγαγὼν περὶ μέσας νύκτας εἰσήγαγε τὸ
the force having-brought-up about middle night brought-in the

στράτευμα, καὶ μικροῦ μὲν κατέσκαψε τὴν πόλιν ἐνέπλησε
army and almost indeed razed the city filled
δὲ φόνου καὶ νεκρῶν, ὥστε τὸν Κεραμεικὸν αἵματι ῥυῆναι.
and with-slaughter and corpses so-that — Ceramicus with-blood to-flow
χαλεπῶς δὲ πρὸς τοὺς Ἀθηναίους ἔσχε διὰ τοὺς
harshly and toward the Athenians he-was-disposed because-of the
λόγους μᾶλλον ἢ τὰ ἔργα· κακῶς γὰρ αὐτὸν ἔλεγον καὶ
words more than the deeds badly for him they-spoke and
τὴν Μετέλλαν, ἀναπηδῶντες ἐπὶ τὰ τείχη καὶ σκώπτοντες
— Metella leaping-up on the walls and mocking

‘συκάμινον ἔσθ’ ὁ Σύλλας ἀλφίτῳ πεπασμένον,’
a-mulberry is — Sulla with-barley-meal sprinkled

καὶ τοιαῦτα πολλὰ φλυαροῦντες ἐπεσπάσαντο κουφοτάτου
and such-things many babbling they-drew-upon-themselves for-lightest
πράγματος ‘λόγων’ ὥς φησιν ὁ Πλάτων ‘βαρυτάτην
thing words as says — Plato heaviest
ζημίαν.’ τὴν δὲ Ῥωμαίων πόλιν ἐκώλυσεν ἐλευθέραν
penalty the and of-Romans city prevented free
γενέσθαι, Νέρωνος ἀπαλλαγεῖσαν, ἑνὸς ἀνδρὸς ἀδολεσχία.
to-become from-Nero freed of-one man talkativeness
μία γὰρ ἦν νύξ, μεθ’ ἣν ἔδει τὸν τύραννον
one for was night after which it-was-necessary the tyrant
ἀπολωλέναι, παρεσκευασμένων ἁπάντων· ὁ δὲ μέλλων
to-have-perished prepared all-things the and being-about
αὐτὸν ἀποκτιννύναι, πορευόμενος εἰς θέατρον ἰδών τινα
him to-kill going to theater having-seen one
τῶν δεδεμένων ἐπὶ θύραις μέλλοντα προσάγεσθαι τῷ Νέρωνι
of-the bound at doors being-about to-be-brought — to-Nero
καὶ τὴν αὑτοῦ τύχην ἀποδυρόμενον, ἐγγὺς προσῆλθεν αὐτῷ
and the his-own fortune lamenting near approached him

καὶ προσψιθυρίσας ‘εὔχου’ φησὶν ‘ὦ ἄνθρωπε, τὴν σήμερον
and having-whispered pray he-says O man the today
ἡμέραν παρελθεῖν μόνον, αὔριον δέ μοι εὐχαριστήσεις.’
day to-get-through only tomorrow and me you-will-thank
ἁρπάσας οὖν τὸ αἰνιχθὲν ἐκεῖνος καὶ νοήσας, οἶμαι, ὅτι
having-seized then the hinted that-one and having-understood I-suppose that

‘νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν ἀνέτοιμα διώκει,’
fool who the ready having-left the-unready pursues

τὴν βεβαιοτέραν εἵλετο σωτηρίαν πρὸ τῆς δικαιοτέρας.
the more-secure chose safety before the more-just
ἐμήνυσε γὰρ τῷ Νέρωνι τὴν φωνὴν τἀνθρώπου· κἀκεῖνος
he-informed for — to-Nero the saying of-the-man and-he
εὐθὺς ἀνήρπαστο, καὶ βάσανοι καὶ πῦρ καὶ μάστιγες ἐπ’
at-once was-seized and tortures and fire and whips upon
αὐτόν, ἀρνούμενον πρὸς τὴν ἀνάγκην ἃ χωρὶς ἀνάγκης
him denying against the compulsion what without compulsion
ἐμήνυσε.
he-had-informed
Ζήνων δ’ ὁ φιλόσοφος, ἵνα μηδ’ ἄκοντος αὐτοῦ 8
Zeno and the philosopher so-that not-even unwilling him
πρόηταί τι τῶν ἀπορρήτων ἐκβιαζόμενον τὸ σῶμα ταῖς
might-let-slip any of-the secrets being-forced the body by-the
ἀνάγκαις, διαφαγὼν τὴν γλῶτταν προσέπτυσε τῷ
tortures having-bitten-through the tongue spat-it-at the
τυράννῳ. καλὸν δὲ καὶ Λέαινα τῆς ἐγκρατείας ἔχει γέρας·
tyrant fine and also Leaena of-the self-control has reward
ἑταίρα τῶν περὶ Ἁρμόδιον ἦν καὶ Ἀριστογείτονα καὶ τῆς
courtesan of-the around Harmodius she-was and Aristogeiton and in-the
ἐπὶ τοὺς τυράννους συνωμοσίας ἐκοινώνει ταῖς ἐλπίσιν
against the tyrants conspiracy she-shared in-the hopes

ὡς γυνή· καὶ γὰρ αὕτη περὶ τὸν καλὸν ἐκεῖνον ἐβάκχευσε
as woman and for she about the fine that reveled
κρατῆρα τοῦ ἔρωτος, καὶ κατωργίαστο διὰ τοῦ θεοῦ
bowl of-the love and had-been-initiated through the god
τοῖς ἀπορρήτοις. ὡς οὖν ἐκεῖνοι πταίσαντες ἀνῃρέθησαν,
into-the secrets when then they having-failed were-killed
ἀνακρινομένη καὶ κελευομένη φράσαι τοὺς ἔτι λανθάνοντας
being-examined and being-ordered to-tell the still escaping-notice
οὐκ ἔφρασεν, ἀλλ' ἐνεκαρτέρησεν, ἐπιδείξασα τοὺς ἄνδρας
not she-told but held-out showing the men
οὐδὲν ἀνάξιον ἑαυτῶν παθόντας, εἰ τοιαύτην ἠγάπησαν.
nothing unworthy of-themselves having-experienced if such they-loved
Ἀθηναῖοι δὲ χαλκῆν ποιησάμενοι, λέαιναν ἄγλωσσον ἐν
Athenians and bronze having-made lioness tongueless in
πύλαις τῆς ἀκροπόλεως ἀνέθηκαν, τῷ μὲν θυμοειδεῖ
gates of-the acropolis set-up by-the indeed spiritedness
τοῦ ζῴου τὸ ἀήττητον αὐτῆς τῷ δ' ἀγλώσσῳ τὸ
of-the animal the invincible of-her by-the and tonguelessness the
σιωπηρὸν καὶ μυστηριῶδες ἐμφαίνοντες. οὐδεὶς γὰρ οὕτω
silent and mystic showing no for so
λόγος ὠφέλησε ῥηθεὶς ὡς πολλοὶ σιωπηθέντες·
word helped having-been-spoken as many having-been-kept-silent
ἔστι γὰρ εἰπεῖν ποτε τὸ σιγηθέν, οὐ μὴν σιωπῆσαί
it-is-possible for to-say once the kept-silent not indeed to-silence
γε τὸ λεχθέν, ἀλλ' ἐκκέχυται καὶ διαπεφοίτηκεν.
at-least the spoken but it-has-been-poured-out and has-spread-abroad
ὅθεν οἶμαι τοῦ μὲν λέγειν ἀνθρώπους τοῦ δὲ σιωπᾶν
whence I-think of-the indeed speaking men of-the but keeping-silent
θεοὺς διδασκάλους ἔχομεν, ἐν τελεταῖς καὶ μυστηρίοις
gods as-teachers we-have in rites and mysteries
σιωπὴν παραλαμβάνοντες. ὁ δὲ ποιητὴς τὸν λογιώτατον
silence receiving the and poet the most-eloquent

Ὀδυσσέα σιωπηλότατον πεποίηκε, καὶ τὸν υἱὸν αὐτοῦ καὶ
Odysseus most-silent has-made and the son his and
τὴν γυναῖκα καὶ τὴν τροφόν· ἀκούεις γὰρ λεγούσης
the wife and the nurse you-hear for her-saying

‘ἔξω δ’ ἠύτε περ κρατερὴ δρῦς ἠὲ σίδηρος.’
I-will-hold and like even strong oak or iron

αὐτὸς δὲ τῇ Πηνελόπῃ παρακαθήμενος
he-himself and — by-Penelope sitting-beside

‘θυμῷ μὲν γοόωσαν ἑὴν ἐλέαιρε γυναῖκα,
in-heart indeed lamenting his pitied wife
ὀφθαλμοὶ δ’ ὡς εἰ κέρα ἕστασαν ἠὲ σίδηρος,
eyes and as if horn stood or iron
ἀτρέμας ἐν βλεφάροισιν.’
unmoving in eyelids

οὕτω τὸ σῶμα μεστὸν ἦν αὐτῷ πανταχόθεν ἐγκρατείας,
so the body full was for-him from-everywhere of-self-control
καὶ πάντ’ ἔχων ὁ λόγος εὐπειθῆ καὶ ὑποχείρια προσέταττε
and all-things having the reason obedient and subject commanded
τοῖς ὄμμασι μὴ δακρύειν, τῇ γλώττῃ μὴ φθέγγεσθαι, τῇ
to-the eyes not to-weep the tongue not to-utter the
καρδίᾳ μὴ τρέμειν μηδ’ ὑλακτεῖν.
heart not to-tremble nor to-bark

‘τῷ δ’ αὖτ’ ἐν πείσῃ κραδίη μένε τετληυῖα’
for-him and again in obedience heart remained enduring

μέχρι τῶν ἀλόγων κινημάτων διήκοντος τοῦ λογισμοῦ
as-far-as the irrational movements penetrating the reasoning
καὶ τὸ πνεῦμα καὶ τὸ αἷμα πεποιημένου κατήκοον
and the breath and the blood having-made obedient
ἑαυτῷ καὶ χειρόηθες. τοιοῦτοι δὲ καὶ οἱ πολλοὶ τῶν
to-itself and tame such and also the many of-the
ἑταίρων· τὸ γὰρ ἑλκομένους καὶ προσουδιζομένους ὑπὸ
comrades the for being-dragged and being-dashed-to-the-ground by
τοῦ Κύκλωπος μὴ κατειπεῖν τοῦ Ὀδυσσέως μηδὲ δεῖξαι
— Cyclops not to-denounce — Odysseus nor to-show
τὸ πεπυρακτωμένον ἐκεῖνο καὶ παρεσκευασμένον ὄργανον
the fire-hardened that and prepared instrument
ἐπὶ τὸν ὀφθαλμόν, ἀλλ’ ὠμοὺς ἐσθίεσθαι μᾶλλον ἢ
for the eye but raw to-be-eaten rather than
φράσαι τι τῶν ἀπορρήτων, ὑπερβολὴν ἐγκρατείας καὶ
to-tell any of-the secrets excess of-self-control and
πίστεως οὐκ ἀπολέλοιπεν. ὅθεν ὁ Πιττακὸς οὐ κακῶς,
of-faithfulness not has-left whence — Pittacus not badly
τοῦ Αἰγυπτίων βασιλέως πέμψαντος ἱερεῖον αὐτῷ καὶ
the of-Egyptians king having-sent victim to-him and
κελεύσαντος τὸ κάλλιστον καὶ χείριστον ἐξελεῖν κρέας,
having-ordered the finest and worst to-take-out meat
ἐξέπεμψεν ἐξελὼν τὴν γλῶτταν ὡς ὄργανον μὲν
sent-out having-taken-out the tongue as instrument indeed
ἀγαθῶν ὄργανον δὲ κακῶν τῶν μεγίστων οὖσαν.
of-goods instrument but of-evils the greatest being

ἡ δ' Εὐριπίδειος Ἰνὼ παρρησίαν ἄγουσα περὶ αὑτῆς 9
the and Euripidean Ino frankness bringing about herself
εἰδέναι φησὶ
to-know she-says

'σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἵν' ἀσφαλές.'
to-be-silent both where one-must and to-speak where safe

οἱ γὰρ εὐγενοῦς καὶ βασιλικῆς τῷ ὄντι παιδείας τυχόντες
those for of-noble and royal in-the reality education having-obtained
πρῶτον σιγᾶν εἶτα λαλεῖν μανθάνουσιν. Ἀντίγονος γοῦν
first to-be-silent then to-speak learn Antigonus at-any-rate
ὁ βασιλεὺς ἐκεῖνος, ἐρωτήσαντος αὐτὸν τοῦ υἱοῦ πηνίκα
the king that having-asked him the son when
μέλλουσιν ἀναζευγνύειν, 'τί δέδοικας;' εἶπε 'μὴ μόνος
they-are-going to-break-camp what do-you-fear he-said lest alone
οὐκ ἀκούσῃς τῆς σάλπιγγος;' οὐκ ἄρα φωνὴν ἐπίστευεν
not you-hear the trumpet not then voice did-he-trust
ἀπόρρητον ᾧ τὴν βασιλείαν ἀπολείπειν ἔμελλεν; ἐδίδασκε
secret to-whom the kingdom to-leave he-was-going he-taught
μὲν οὖν αὐτὸν ἐγκρατῶς ἔχειν πρὸς τὰ τοιαῦτα καὶ
indeed then him with-self-control to-be-disposed toward the such-things and
πεφυλαγμένως. Μέτελλος δ' ὁ γέρων ἕτερόν τι τοιοῦτον
guardedly Metellus and the old-man other some such
ἐπερωτώμενος ἐπὶ στρατείας 'εἰ' φησὶν 'ᾤμην τὸν χιτῶνά
being-asked on campaign if he-says I-thought the tunic
μοι συνειδέναι τοῦτο τἀπόρρητον, ἀποδυσάμενος ἂν αὐτὸν
to-me to-be-privy this the-secret having-taken-off — it
ἐπὶ τὸ πῦρ ἔθηκα.' Εὐμένης δ' ἀκούσας ἐπέρχεσθαι
on the fire I-would-have-put Eumenes and having-heard to-be-approaching
Κρατερὸν οὐδενὶ τῶν φίλων ἔφρασεν, ἀλλ' ἐψεύσατο
Craterus to-none of-the friends told but lied

Νεοπτόλεμον εἶναι· τούτου γὰρ οἱ στρατιῶται κατεφρόνουν,
Neoptolemus to-be this for the soldiers despised
ἐκείνου δὲ καὶ τὴν δόξαν ἐθαύμαζον καὶ τὴν ἀρετὴν ἠγάπων.
of-that but both the reputation admired and the courage loved
ἔγνω δ' οὐδεὶς ἄλλος, ἀλλὰ συμβαλόντες ἐκράτησαν
knew and no-one other but having-engaged they-prevailed
καὶ ἀπέκτειναν αὐτὸν ἀγνοοῦντες καὶ νεκρὸν ἐπέγνωσαν.
and killed him not-knowing and dead recognized
οὕτως ἐστρατήγησεν ἡ σιωπὴ τὸν ἀγῶνα καὶ τηλικοῦτον
so generaled the silence the contest and so-great
ἀνταγωνιστὴν ἀπέκρυψεν· ὥστ' αὐτὸν τοὺς φίλους μὴ
antagonist concealed so-that him the friends not
προειπόντα θαυμάζειν μᾶλλον ἢ μέμφεσθαι· κἂν
having-told-beforehand to-admire rather than to-blame and-if
μέμφηται δέ τις, ἐγκαλεῖσθαι βέλτιόν ἐστι σωθέντα δι'
blames and anyone to-be-accused better is having-been-saved through
ἀπιστίαν ἢ κατηγορεῖν ἀπολλύμενον διὰ τὸ πιστεῦσαι.
distrust than to-accuse perishing because-of the trusting
10 τίς δ' ὅλως ἑαυτῷ παρρησίαν ἀπολέλοιπε κατὰ τοῦ μὴ
who and at-all to-himself frankness has-left against the not
σιωπήσαντος; εἰ γὰρ ἀγνοεῖσθαι τὸν λόγον ἔδει, κακῶς
having-kept-silent if for to-be-unknown the word it-was-needful badly
ἐλέχθη πρὸς ἄλλον· εἰ δ' ἀφεὶς ἐκ σεαυτοῦ κατέχεις ἐν
it-was-spoken to another if and having-let-go from yourself you-hold in
ἑτέρῳ τἀπόρρητον, εἰς ἀλλοτρίαν πίστιν καταπέφευγας τὴν
another the-secret into another's trust you-have-fled the
σεαυτοῦ προέμενος. κἂν μὲν ἐκεῖνος ὅμοιός σοι γένηται,
your-own having-thrown-away and-if indeed that-one like to-you become
δικαίως ἀπόλωλας· ἂν δὲ βελτίων, σῴζῃ παραλόγως
justly you-have-perished if but better you-are-saved unexpectedly
ἕτερον εὑρὼν ὑπὲρ σεαυτὸν πιστότερον. 'ἀλλὰ φίλος
another having-found than yourself more-trustworthy but friend

οὗτος ἐμοί.᾽ τούτῳ δ᾽ ἕτερός τις, ᾧ πιστεύσει καὶ οὗτος
this to-me to-this and another someone whom he-will-trust and this-one
ὡς ἐγὼ τούτῳ· κἀκεῖνος ἄλλῳ πάλιν· εἶθ᾽ οὕτως ἐπιγονὴν
as I this-one and-that-one another again then thus increase
λαμβάνει καὶ πολλαπλασιασμόν, εἰρομένης τῆς ἀκρασίας,
takes and multiplication being-strung-on the incontinence
ὁ λόγος. ὡς γὰρ ἡ μονὰς οὐκ ἐκβαίνει τὸν ἑαυτῆς ὅρον
the word as for the unit not goes-beyond the its-own boundary
ἀλλ᾽ ἅπαξ τὸ ἓν μένει, διὸ κέκληται μονάς· ἡ δὲ δυὰς
but once the one remains therefore it-is-called unit the but dyad
ἀρχὴ διαφορᾶς ἀόριστος· εὐθὺς γὰρ ἑαυτὴν ἐξίστησι τῷ
beginning of-difference indefinite at-once for itself puts-outside by-the
διπλασιασμῷ εἰς τὸ πλῆθος τρεπομένη· οὕτω λόγος ἐν τῷ
doubling into the multitude turning so word in the
πρώτῳ καταμένων ἀπόρρητος ὡς ἀληθῶς ἐστιν· ἂν δ᾽ εἰς
first remaining secret as truly is if but into
ἕτερον ἐκβῇ φήμης ἔσχε τάξιν. ‘ἔπεα᾽ γάρ ‘πτερόεντα᾽
another it-goes-out of-rumor has rank words for winged
φησὶν ὁ ποιητής· οὔτε γὰρ πτηνὸν ἐκ τῶν χειρῶν ἀφέντα
says the poet neither for bird from the hands having-let-go
ῥᾴδιόν ἐστιν αὖθις κατασχεῖν, οὔτε λόγον ἐκ τοῦ στόματος
easy it-is again to-hold-back nor word from the mouth
προέμενον κρατῆσαι καὶ συλλαβεῖν δυνατόν, ἀλλὰ φέρεται
let-slip to-master and to-seize possible but it-is-carried

‘λαιψηρὰ κυκλώσας πτερά᾽
swift whirling wings

δι᾽ ἄλλων ἐπ᾽ ἄλλους σκιδνάμενος. νεὼς μὲν γὰρ
through some to others scattering of-ship indeed for
ἁρπαγείσης ὑπὸ πνεύματος ἐπιλαμβάνονται, σπείραις καὶ
snatched by wind they-check-it with-cables and

ἀγκύραις τὸ τάχος ἀμβλύνοντες· τοῦ λόγου δ' ὥσπερ ἐκ
anchors the speed blunting of-the word but as-if from
λιμένων ἐκδραμόντος οὐκ ἔστιν ὅρμος οὐδ' ἀγκυροβόλιον,
harbors having-run-out not is mooring nor anchorage
ἀλλὰ ψόφῳ πολλῷ καὶ ἤχῳ φερόμενος προσέρρηξε καὶ
but with-noise much and echo borne it-dashed-against and
κατέδυσεν εἰς μέγαν τινὰ καὶ δεινὸν τὸν φθεγξάμενον
sank into great some and terrible the having-uttered
κίνδυνον.
danger

'μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας
small for from torch Idaean crag
πρήσειεν ἄν τις· καὶ πρὸς ἄνδρ' εἰπὼν ἕνα,
could-burn — anyone and to man having-told one
πύθοιντ' ἂν ἀστοὶ πάντες.'
would-learn — citizens all

11 ἡ Ῥωμαίων σύγκλητος ἀπόρρητόν τινα βουλὴν ἐβουλεύετο
the of-Romans senate secret some plan was-deliberating
καθ' αὑτὴν ἐπὶ πολλὰς ἡμέρας· ἀσάφειαν δὲ πολλὴν καὶ
by itself for many days obscurity and much and
ὑπόνοιαν ἔχοντος τοῦ πράγματος, γυνὴ τἄλλα σώφρων, γυνὴ
suspicion having the matter woman in-the-rest temperate woman
δέ, προσέκειτο τῷ ἑαυτῆς ἀνδρί, λιπαρῶς δεομένη πυθέσθαι
but pressed the her-own husband importunately begging to-learn
τἀπόρρητον· ὅρκοι δὲ καὶ κατάραι περὶ σιωπῆς ἐγίγνοντο
the-secret oaths but and curses about silence took-place
καὶ δάκρυα ποτνιωμένης αὐτῆς, ὡς πίστιν οὐκ ἐχούσης. ὁ
and tears imploring her as trust not having the
δὲ Ῥωμαῖος ἐξελέγξαι βουλόμενος αὐτῆς τὴν ἀβελτερίαν
and Roman to-expose wishing her the silliness

‘νικᾷς, ὦ γύναι’ εἶπεν ‘ἀλλ’ ἄκουε φοβερὸν πρᾶγμα καὶ
you-win O wife he-said but hear fearful thing and
τεράστιον· προσήγγελται γὰρ ἡμῖν ὑπὸ τῶν ἱερέων κόρυδον
portentous it-has-been-reported for to-us by the priests lark
ὤφθαι πετόμενον κράνος ἔχοντα χρυσοῦν καὶ δόρυ·
to-have-been-seen flying helmet having golden and spear
σκεπτόμεθα δὴ τὸ τέρας εἴτε χρηστὸν εἴτε φαῦλόν ἐστι,
we-are-considering indeed the portent whether good or bad it-is
καὶ συνδιαποροῦμεν τοῖς μάντεσιν· ἀλλὰ σιώπα.’ ταῦτ’
and we-are-puzzling-with the seers but be-silent these-things
εἰπὼν ᾤχετ’ εἰς τὴν ἀγοράν· ἡ δὲ τῶν θεραπαινίδων
having-said he-went into the market-place she and of-the maidservants
εὐθὺς ἐφελκυσαμένη τὴν πρώτην εἰσελθοῦσαν, ἔπαιε τὸ
at-once having-drawn-aside the first having-come-in struck the
στῆθος αὑτῆς καὶ τὰς τρίχας ἐσπάραττεν ‘οἴμοι’ λέγουσα
breast her-own and the hair tore alas saying
‘τἀνδρὸς καὶ τῆς πατρίδος· τί πεισόμεθα;’ βουλομένη
for-the-husband and the fatherland what will-we-suffer wishing
καὶ διδάσκουσα τὴν θεράπαιναν εἰπεῖν ‘τί γὰρ γέγονεν;’
and teaching the maidservant to-say what for has-happened
ὡς δ’ οὖν πυθομένης διηγήσατο καὶ προσέθηκε τὸν κοινὸν
when and then she-having-learned she-told and added the common
ἁπάσης ἀδολεσχίας ἐπῳδόν, τὸ ‘ταῦτα μηδενὶ φράσῃς ἀλλὰ
of-all talkativeness refrain the these-things to-no-one tell but
σιώπα,’ οὐ φθάνει τὸ θεραπαινίδιον ἀποχωρῆσαν αὐτῆς,
be-silent not sooner the little-maid having-gone-away from-her
καὶ τῶν ὁμοδούλων εὐθὺς ἣν μάλιστ’ εἶδε σχολάζουσαν
and of-the fellow-slaves at-once the-one most she-saw being-idle
ἐμβάλλει τὸν λόγον· ἐκείνη δὲ τῷ ἐραστῇ παραγενομένῳ
throws-in the story she and to-the lover having-come
πρὸς αὐτὴν ἔφρασεν. οὕτω δ’ εἰς ἀγορὰν τοῦ διηγήματος
to her told so and into market-place the story

ἐκκυλισθέντος ὥστε προλαβεῖν τὸν πλασάμενον τὴν φήμην,
rolled-out that to-anticipate the having-fabricated the rumor
ἀπαντήσας τις αὐτῷ τῶν γνωρίμων ‘ἀρτίως’ εἶπεν
having-met someone him of-the acquaintances just-now he-said
‘οἴκοθεν εἰς ἀγορὰν καταβαίνεις;’ ‘ἀρτίως’ ἔφη ἐκεῖνος.
from-home to market-place are-you-coming-down just-now he-said he
‘οὐκοῦν οὐδὲν ἀκήκοας;’ ‘γέγονε γάρ τι καινόν;’
then nothing have-you-heard has-there-happened for something new
‘ἀλλὰ κόρυδος ὤπται πετόμενος κράνος ἔχων χρυσοῦν
but lark has-been-seen flying helmet having golden
καὶ δόρυ, καὶ μέλλουσι περὶ τούτου σύγκλητον ἔχειν
and spear and are-going about this senate to-hold
οἱ ἄρχοντες.’ κἀκεῖνος γελάσας ‘φεῦ τοῦ τάχους’ εἶπεν
the magistrates and-he having-laughed ah the speed he-said
‘ὦ γύναι, τὸ καὶ φθάσαι με τὸν λόγον εἰς ἀγορὰν
O wife the even to-anticipate me the story to market-place
προελθόντα.’ τοὺς μὲν οὖν ἄρχοντας ἐντυχὼν ἀπήλλαξε
having-come-forth the indeed then magistrates having-met he-freed
τῆς ταραχῆς· τὴν δὲ γυναῖκα τιμωρούμενος, ὡς οἴκαδ’
from-the disquiet the but wife punishing when home
εἰσῆλθεν, ‘ἀπώλεσάς μ” εἶπεν ‘ὦ γύναι· τὸ γὰρ ἀπόρρητον
he-came you-have-ruined me he-said O wife the for secret
ἐκ τῆς ἐμῆς οἰκίας πεφώραται δεδημοσιωμένον· ὥστε
from the my house has-been-detected made-public so-that
μοι φευκτέον ἐστὶ τὴν πατρίδα διὰ τὴν σὴν ἀκρασίαν.’
for-me must-flee is the fatherland because-of the your incontinence
τρεπομένης δὲ πρὸς ἄρνησιν αὐτῆς καὶ λεγούσης ‘οὐ γὰρ
turning and to denial her and saying not for
ταῦτα μετὰ τριακοσίων ἤκουσας;’ ‘ποίων’ ἔφη ‘τριακοσίων;
these-things with three-hundred did-you-hear what-sort he-said three-hundred
σοῦ βιασαμένης, ἐπλασάμην ἀποπειρώμενος.’ οὗτος μὲν
you having-forced I-invented testing this-man indeed

οὖν ἀσφαλῶς πάνυ καὶ μετ᾽ εὐλαβείας, ὥσπερ εἰς ἀγγεῖον
then safely very and with caution as-if into vessel
σαθρὸν οὐκ οἶνον οὐκ ἔλαιον ἀλλ᾽ ὕδωρ ἐγχέας, ἐπείρασε
unsound not wine not oil but water having-poured tested
τὴν γυναῖκα. Φούλβιος δ᾽ ὁ Καίσαρος ἑταῖρος τοῦ
the wife Fulvius and the of-Caesar companion —
Σεβαστοῦ, γέροντος ἤδη γεγονότος ἀκούσας ὀδυρομένου
Augustus old already having-become having-heard lamenting
τὴν περὶ τὸν οἶκον ἐρημίαν, καὶ ὅτι, τῶν μὲν δυεῖν αὐτῷ
the about the house desolation and that of-the indeed two to-him
θυγατριδῶν ἀπολωλότων Ποστουμίου δ᾽ ὃς ἔτι λοιπός
grandsons having-perished of-Postumius and who still remaining
ἐστιν ἐκ διαβολῆς τινος ἐν φυγῇ ὄντος, ἀναγκάζεται τὸν
is from slander some in exile being he-is-compelled the
τῆς γυναικὸς υἱὸν ἐπεισάγειν τῇ διαδοχῇ τῆς ἡγεμονίας,
of-the wife son to-bring-in to-the succession of-the rule
καίπερ οἰκτίρων καὶ βουλευόμενος ἐκ τῆς ὑπερορίας
although pitying and planning from the abroad
ἀνακαλεῖσθαι τὸν θυγατριδοῦν· ταῦτ᾽ ὁ Φούλβιος ἀκούσας
to-recall the grandson these-things — Fulvius having-heard
ἐξήνεγκε πρὸς τὴν γυναῖκα, πρὸς δὲ Λιβίαν ἐκείνη, Λιβία
carried-out to the wife to and Livia she Livia
δὲ καθήψατο πικρῶς Καίσαρος, εἰ πάλαι ταῦτ᾽ ἐγνωκὼς
and attacked bitterly Caesar if long-ago these-things having-decided
οὐ μεταπέμπεται τὸν θυγατριδοῦν, ἀλλ᾽ εἰς ἔχθραν καὶ
not he-sends-for the grandson but into enmity and
πόλεμον αὐτὴν τῷ διαδόχῳ τῆς ἀρχῆς καθίστησιν. ἐλθόντος
war her to-the successor of-the rule he-sets having-come
οὖν ἕωθεν, ὡς εἰώθει, τοῦ Φουλβίου πρὸς αὐτὸν καὶ
then at-dawn as he-was-accustomed — Fulvius to him and
εἰπόντος ‘χαῖρε, Καῖσαρ’ ‘ὑγίαιν” εἶπε ‘Φούλβιε.’ κἀκεῖνος
having-said hail Caesar farewell he-said Fulvius and-he

νοήσας ᾤχετ᾽ εὐθὺς ἀπιὼν οἴκαδε, καὶ τὴν γυναῖκα
having-understood went at-once going-away home and the wife
μεταπεμψάμενος ‘ἔγνωκεν’ ἔφη ‘Καῖσαρ, ὅτι τἀπόρρητον
having-sent-for has-learned he-said Caesar that the-secret
οὐκ ἐσιώπησα· καὶ διὰ τοῦτο μέλλω ἀναιρεῖν ἐμαυτόν·’ ἡ
not I-kept-silent and because-of this I-am-about to-kill myself the
δὲ γυνὴ ‘δικαίως’ εἶπεν ‘ὅτι μοι τοσοῦτον συνοικῶν χρόνον
and wife justly she-said because to-me so-long living-with time
οὐκ ἔγνως οὐδ᾽ ἐφυλάξω τὴν ἀκρασίαν· ἀλλ᾽ ἔασον ἐμὲ
not you-recognized nor guarded-against the incontinence but let me
προτέραν.’ καὶ λαβοῦσα τὸ ξίφος ἑαυτὴν προανεῖλε τἀνδρός.
first and having-taken the sword herself killed-before the-husband

III · CURIOSITY, RUMOR, AND THE CURE

Curiosity feeds talkativeness: talkers hoard secrets until they burst. A peasant who recognized King Seleucus lost his head by naming him; a barber was crucified for joking about Dionysius' tyranny, and another, first to tell Athens of the Sicilian disaster, was put to the wheel. A temple-robber at Sparta and Ibycus' murderers betrayed themselves by their tongues, and the talker is a traitor who betrays for no pay. The cure begins with judgment, seeing the harms the vice brings, and goes on to praise of silence and brevity, the Spartans' replies, the Delphic maxims, Heraclitus' cup, and Scilurus' bundle of javelins.

12 ὀρθῶς οὖν Φιλιππίδης ὁ κωμῳδιοποιὸς φιλοφρονουμένου
rightly then Philippides the comic-poet treating-kindly
τοῦ βασιλέως αὐτὸν Λυσιμάχου καὶ λέγοντος ‘τίνος σοι
the king him Lysimachus and saying of-what to-you
μεταδῶ τῶν ἐμῶν;’ ‘οὗ βούλει’ φησὶ ‘βασιλεῦ, πλὴν
may-I-give-a-share of-the my-things of-whatever you-wish he-says king except
τῶν ἀπορρήτων.’ τῇ δ᾽ ἀδολεσχίᾳ καὶ ἡ περιεργία κακὸν
the secrets to-the and talkativeness also the curiosity evil

οὐκ ἔλαττον πρόσεστι· πολλὰ γὰρ ἀκούειν θέλουσιν, ἵνα
not less is-attached many-things for to-hear they-wish so-that
πολλὰ λέγειν ἔχωσι· καὶ μάλιστα τοὺς ἀπορρήτους
many-things to-say they-may-have and most the secret
καὶ κεκρυμμένους τῶν λόγων περιιόντες ἐξιχνεύουσι
and hidden of-the words going-about they-track-down
καὶ ἀνερευνῶσιν, ὥσπερ ὕλην πυλαίαν τινὰ φορυτῶν
and search-out as-if timber motley some of-rubbish
τῇ φλυαρίᾳ παρατιθέμενοι, εἶθ' ὥσπερ οἱ παῖδες τὸν
for-the nonsense laying-in then as the children the
κρύσταλλον οὔτε κατέχειν οὔτ' ἀφιέναι θέλουσι· μᾶλλον δ'
ice neither to-hold nor to-let-go they-wish rather and
ὥσπερ ἑρπετὰ τοὺς ἀπορρήτους λόγους ἐγκολπισάμενοι
as-if reptiles the secret words having-taken-to-their-bosom
καὶ συλλαβόντες οὐ συγκρατοῦσιν ἀλλὰ διαβιβρώσκονται
and having-seized not they-hold-in but are-eaten-through
ὑπ' αὐτῶν. τὰς μὲν γὰρ βελόνας φασὶ ῥήγνυσθαι τικτούσας
by them the indeed for needle-fish they-say to-burst giving-birth
καὶ τὰς ἐχίδνας, οἱ δ' ἀπόρρητοι λόγοι τοὺς μὴ στέγοντας
and the vipers the and secret words those not holding
ἐκπίπτοντες ἀπολλύουσι καὶ διαφθείρουσι. Σέλευκος ὁ
falling-out destroy and ruin Seleucus the
Καλλίνικος ἐν τῇ πρὸς Γαλάτας μάχῃ πᾶν ἀποβαλὼν τὸ
Callinicus in the against Galatians battle all having-lost the
στράτευμα καὶ τὴν δύναμιν, αὐτὸς περισπάσας τὸ διάδημα
army and the force himself having-torn-off the diadem
καὶ φυγὼν ἵππῳ μετὰ τριῶν ἢ τεττάρων ἀνοδίαις καὶ
and having-fled on-horse with three or four by-pathless-ways and
πλάναις πολὺν δρόμον, ἤδη δι' ἔνδειαν ἀπαγορεύων
wanderings much running already through want giving-up

ἐπαυλίῳ τινὶ προσῆλθε, καὶ τὸν δεσπότην αὐτὸν εὑρὼν
to-farmstead some came and the master himself having-found
κατὰ τύχην ἄρτον καὶ ὕδωρ ᾔτησεν.
by chance bread and water asked
ὁ δὲ καὶ ταῦτα καὶ τῶν ἄλλων ὅσα παρῆν ἐν τῷ
he and both these-things and of-the others as-much-as was-at-hand in the
ἀγρῷ δαψιλῶς ἐπιδιδοὺς καὶ φιλοφρονούμενος ἐγνώρισε
field abundantly giving and treating-kindly recognized
τὸ πρόσωπον τοῦ βασιλέως, καὶ περιχαρ�ὴς γενόμενος
the face of-the king and overjoyed having-become
τῇ συντυχίᾳ τῆς χρείας οὐ κατέσχεν οὐδὲ συνεψεύσατο
at-the coincidence of-the need not restrained nor joined-in-pretending
βουλομένῳ λανθάνειν, ἀλλ᾽ ἄχρι τῆς ὁδοῦ προπέμψας,
to-one-wishing to-escape-notice but as-far-as the road having-escorted
καὶ ἀπολυόμενος ‘ὑγίαιν” εἶπεν ‘ὦ βασιλεῦ Σέλευκε.’
and taking-leave farewell he-said O king Seleucus
κἀκεῖνος ἐκτείνας τὴν δεξιὰν αὐτῷ καὶ προσελκόμενος
and-he having-stretched-out the right-hand to-him and drawing-him-close
ὡς φιλήσων, ἔνευσεν ἑνὶ τῶν μετ᾽ αὐτοῦ ξίφει τὸν
as-if to-kiss nodded to-one of-the with him with-sword the
τράχηλον ἀποκόψαι τοῦ ἀνθρώπου·
neck to-cut-off of-the man

‘φθεγγομένου δ᾽ ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.’
as-he-was-speaking and then of-him at-least head with-the-dust was-mingled

εἰ δ᾽ ἐσίγησε τότε καρτερήσας ὀλίγον χρόνον,
if but he-had-kept-silent then having-endured little time
εὐτυχήσαντος ὕστερον τοῦ βασιλέως καὶ μεγάλου γενομένου
having-prospered later the king and great having-become
μείζονας ἂν οἶμαι χάριτας ἐκομίσατο ἀντὶ τῆς
greater — I-think thanks he-would-have-received in-return-for the

σιωπῆς ἢ τῆς φιλοξενίας. οὗτος μὲν οὖν ἁμωσγέπως ἔσχε
silence than for-the hospitality this-man indeed then somehow had
πρόφασιν τῆς ἀκρασίας τὴν ἐλπίδα καὶ τὴν φιλοφροσύνην.
excuse of-the incontinence the hope and the kindness
οἱ δὲ πλεῖστοι τῶν ἀδολέσχων οὐδ' αἰτίαν ἔχοντες 13
the but most of-the talkative not-even cause having
ἀπολλύουσιν αὑτούς. οἷον ἐν κουρείῳ τινὶ λόγων
ruin themselves as-for-example in barber's-shop some talks
γιγνομένων περὶ τῆς Διονυσίου τυραννίδος, ὡς ἀδαμαντίνη
taking-place about the of-Dionysius tyranny that adamantine
καὶ ἄρρηκτός ἐστι, γελάσας ὁ κουρεὺς 'ταῦθ' ὑμᾶς'
and unbreakable it-is having-laughed the barber these-things you
ἔφη 'περὶ Διονυσίου δεῖ λέγειν, οὗ ἐγὼ παρ' ἡμέρας
he-said about Dionysius must to-say whose I every days
ὀλίγας ἐπὶ τοῦ τραχήλου τὸ ξυρὸν ἔχω;' ταῦτ' ἀκούσας
few on the neck the razor have these-things having-heard
ὁ Διονύσιος ἀνεσταύρωσεν αὐτόν. ἐπιεικῶς δὲ λάλον ἐστὶ
— Dionysius crucified him fairly and talkative is
τὸ τῶν κουρέων γένος· οἱ γὰρ ἀδολεσχότατοι προσρέουσι
the of-the barbers tribe the for most-talkative flow-to
καὶ προσκαθίζουσιν, ὥστ' αὐτοὺς ἀναπίμπλασθαι τῆς
and sit-by so-that them to-be-filled with-the
συνηθείας. χαριέντως γοῦν ὁ βασιλεὺς Ἀρχέλαος,
habit wittily at-any-rate the king Archelaus
ἀδολέσχου κουρέως περιβαλόντος αὐτῷ τὸ ὠμόλινον
talkative barber having-thrown-round him the towel
καὶ πυθομένου 'πῶς σε κείρω, βασιλεῦ;' 'σιωπῶν' ἔφη.
and having-inquired how you am-I-to-cut king in-silence he-said
κουρεὺς δὲ καὶ τὴν ἐν Σικελίᾳ τῶν Ἀθηναίων μεγάλην
barber and also the in Sicily of-the Athenians great
κακοπραγίαν ἀπήγγειλε, πρῶτος ἐν Πειραιεῖ πυθόμενος
disaster reported first in Piraeus having-learned-it

οἰκέτου τινὸς τῶν ἀποδεδρακότων ἐκεῖθεν. εἶτ' ἀφεὶς
from-servant some of-those having-run-away from-there then having-left
τὸ ἐργαστήριον εἰς ἄστυ συνέτεινε δρόμῳ
the shop to city he-strained at-a-run

'μή τις κῦδος ἄροιτο'
lest someone glory should-win

τὸν λόγον εἰς τὴν πόλιν ἐμβαλών,
the news into the city having-thrown

'ὁ δὲ δεύτερος ἔλθοι.'
the and second should-come

γενομένης δὲ ταραχῆς οἷον εἰκός, εἰς ἐκκλησίαν ἀθροισθεὶς
having-arisen and disturbance as likely into assembly having-gathered
ὁ δῆμος ἐπὶ τὴν ἀρχὴν ἐβάδιζε τῆς φήμης. ἤγετ' οὖν
the people to the source went of-the rumor was-brought then
ὁ κουρεὺς καὶ ἀνεκρίνετο, μηδὲ τοὔνομα τοῦ φράσαντος
the barber and was-questioned not-even the-name of-the having-told
εἰδὼς ἀλλ' εἰς ἀνώνυμον καὶ ἄγνωστον ἀναφέρων τὴν
knowing but to nameless and unknown referring the
ἀρχὴν πρόσωπον. ὀργὴ δ' οὖν καὶ βοὴ τοῦ θεάτρου·
origin person anger and then and outcry of-the theater
'βασάνιζε καὶ στρέβλου τὸν ἀλάστορα· πέπλασται
torture and rack the wretch have-been-fabricated
ταῦτα καὶ συντέθειται· τίς δ' ἄλλος ἤκουσε; τίς δ'
these-things and put-together who and other heard who and
ἐπίστευσεν;' ἐκομίσθη τροχός, κατετάθη ὁ ἄνθρωπος. ἐν
believed was-brought wheel was-stretched-out the man in
τούτῳ παρῆσαν οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες, ἐξ
this were-present those the disaster reporting from

αὐτοῦ τοῦ ἔργου διαπεφευγότες, ἐσκεδάσθησαν οὖν πάντες
very the action having-escaped were-scattered then all
ἐπὶ τὰ οἰκεῖα πένθη, καταλιπόντες ἐν τῷ τροχῷ τὸν
to the own griefs having-left on the wheel the
ἄθλιον ἐνδεδεμένον. ὀψὲ δὲ λυθεὶς ἤδη πρὸς ἑσπέραν
wretch bound late and having-been-loosed already toward evening
ἠρώτα τὸν δημόσιον, εἰ καὶ περὶ Νικίου τοῦ στρατηγοῦ,
he-asked the executioner if also about Nicias the general
ὃν τρόπον ἀπόλωλεν, ἀκηκόασιν. οὕτως ἄμαχόν τι
in-what way he-perished they-have-heard so invincible something
κακὸν καὶ ἀνουθέτητον ἡ συνήθεια ποιεῖ τὴν ἀδολεσχίαν.
evil and incorrigible the habit makes the talkativeness
καίτοι γ' ὥσπερ οἱ τὰ πικρὰ καὶ τὰ δυσώδη φάρμακα 14
and-yet at-least as those the bitter and the foul-smelling drugs
πιόντες δυσχεραίνουσι καὶ τὰς κύλικας, οὕτως οἱ τὰ
having-drunk are-annoyed-with even the cups so those the
κακὰ προσαγγέλλοντες ὑπὸ τῶν ἀκουόντων δυσχεραίνονται
evils reporting by the hearers are-disliked
καὶ μισοῦνται. ὅθεν χαριέντως ὁ Σοφοκλῆς διηπόρηκεν,
and are-hated whence wittily — Sophocles has-raised-the-question

'ἐν τοῖσιν ὠσὶν ἢ 'πὶ τῇ ψυχῇ δάκνῃ;
in the ears or on the soul does-it-bite
τί δὲ ῥυθμίζεις τὴν ἐμὴν λύπην ὅπου;
why and do-you-define the my grief where
ὁ δρῶν σ' ἀνιᾷ τὰς φρένας, τὰ δ' ὦτ' ἐγώ.'
the(-one) doing you grieves the mind the but ears I

λυποῦσι δ' οὖν ὥσπερ οἱ δρῶντες καὶ οἱ λέγοντες, ἀλλ'
pain and then as the doing also the speaking but
ὅμως οὐκ ἔστι γλώσσης ῥεούσης ἐπίσχεσις οὐδὲ κολασμός.
nevertheless not is of-tongue flowing check nor chastisement

ἐν Λακεδαίμονι τῆς Χαλκιοίκου τὸ ἱερὸν ὤφθη σεσυλημένον,
in Lacedaemon of-the Bronze-House the temple was-seen plundered
καὶ κειμένη ἔνδον κενὴ λάγυνος. ἦν οὖν ἀπορία πολλῶν
and lying inside empty flask there-was then perplexity many
συνδεδραμηκότων, καί τις τῶν παρόντων ‘εἰ βούλεσθ”
having-run-together and someone of-the present if you-wish
εἶπεν ‘ἐγὼ φράσω ὑμῖν ὅ μοι παρίσταται περὶ τῆς
he-said I will-tell you what to-me occurs about the
λαγύνου· νομίζω γάρ᾽ ἔφη ‘τοὺς ἱεροσύλους ἐπὶ τηλικοῦτον
flask I-think for he-said the temple-robbers to so-great
ἐλθεῖν κίνδυνον, κώνειον ἐμπιόντας καὶ κομίζοντας οἶνον·
to-have-come danger hemlock having-drunk and bringing wine
ἵν᾽ εἰ μὲν αὐτοῖς λαθεῖν ἐγγένοιτο, τῷ ἀκράτῳ ποθέντι
so-that if indeed to-them to-escape-notice should-befall by-the unmixed drunk
σβέσαντες καὶ διαλύσαντες τὸ φάρμακον ἀπέλθοιεν
having-quenched and dissolved the poison they-might-go-away
ἀσφαλῶς· εἰ δ᾽ ἁλίσκοιντο, πρὸ τῶν βασάνων ὑπὸ τοῦ
safely if but they-were-caught before the tortures by the
φαρμάκου ῥᾳδίως καὶ ἀνωδύνως ἀποθάνοιεν.’ ταῦτ᾽
poison easily and painlessly they-might-die these-things
εἰπόντος αὐτοῦ, τὸ πρᾶγμα πλοκὴν ἔχον καὶ περινόησιν
having-said him the matter involution having and contrivance
τοσαύτην οὐχ ὑπονοοῦντος ἀλλ᾽ εἰδότος ἐφαίνετο. καὶ
so-great not of-one-suspecting but of-one-knowing appeared and
περιστάντες αὐτὸν ἀνέκριναν ἄλλοθεν ἄλλος ‘τίς εἶ;’
having-stood-around him they-examined from-another-side another who are-you
καὶ ‘τίς σ᾽ οἶδε;’ καί ‘πόθεν ἐπίστασαι ταῦτα;’ καὶ τὸ πέρας
and who you knows and whence do-you-know these-things and the end
ἐλεγχόμενος οὕτως ὡμολόγησεν εἷς εἶναι τῶν ἱεροσύλων.
being-refuted so confessed one to-be of-the temple-robbers

οἱ δ᾽ Ἴβυκον ἀποκτείναντες οὐχ οὕτως ἑάλωσαν
those and Ibycus having-killed not so were-they-caught
ἐν θεάτρῳ καθήμενοι, καὶ γεράνων παραφανεισῶν πρὸς
in theater sitting and cranes having-appeared to
ἀλλήλους ἅμα γέλωτι ψιθυρίζοντες, ὡς αἱ Ἰβύκου ἔκδικοι
one-another with laughter whispering that the of-Ibycus avengers
πάρεισιν; ἀκούσαντες γὰρ οἱ καθεζόμενοι πλησίον, ἤδη
are-present having-heard for those sitting near already
πολὺν χρόνον τοῦ Ἰβύκου ὄντος ἀφανοῦς καὶ ζητουμένου,
long time — Ibycus being invisible and sought
ἐπελάβοντο τῆς φωνῆς καὶ προσήγγειλαν τοῖς ἄρχουσιν.
laid-hold of-the saying and reported to-the magistrates
ἐλεγχθέντες δ᾽ οὕτως ἀπήχθησαν, οὐχ ὑπὸ τῶν γεράνων
having-been-convicted and so they-were-led-off not by the cranes
κολασθέντες ἀλλ᾽ ὑπὸ τῆς αὑτῶν γλωσσαλγίας ὥσπερ
punished but by the their-own tongue-itch as-if
ἐρινύος ἢ ποινῆς βιασθέντες ἐξαγορεῦσαι τὸν φόνον. ὡς
by-fury or vengeance forced to-blurt-out the murder as
γὰρ ἐν τῷ σώματι πρὸς τὰ πεπονθότα μέρη καὶ ἀλγοῦντα
for in the body toward the having-suffered parts and aching
γίγνεται φορὰ καὶ ὁλκὴ τῶν πλησίον, οὕτως ἡ γλῶττα τῶν
there-occurs flow and drawing of-the near so the tongue of-the
ἀδολέσχων ἀεὶ φλεγμονὴν ἔχουσα καὶ σφυγμὸν ἕλκει τι
talkative always inflammation having and throbbing draws something
καὶ συνάγει τῶν ἀπορρήτων καὶ κεκρυμμένων ἐφ᾽ ἑαυτήν.
and gathers of-the secret and hidden to itself
διὸ δεῖ πεφράχθαι, καὶ τὸν λογισμὸν ὡς πρόβολον
therefore one-must to-be-fenced and the reasoning as bulwark
ἐμποδὼν ἀεὶ τῇ γλώττῃ κείμενον ἐπέχειν τὸ ῥεῦμα καὶ
in-the-way always to-the tongue lying to-check the flow and
τὸν ὄλισθον αὐτῆς, ἵνα μὴ τῶν χηνῶν ἀφρονέστεροι
the slipping its so-that not than-the geese more-foolish

εἶναι δοκῶμεν, οὓς φασιν, ὅταν ὑπερβάλλωσιν ἐκ Κιλικίας
to-be we-may-seem whom they-say when they-cross from Cilicia
τὸν Ταῦρον ἀετῶν ὄντα μεστόν, εἰς τὸ στόμα λαμβάνειν
— Taurus of-eagles being full into the mouth to-take
εὐμεγέθη λίθον ὥσπερ κλεῖθρον ἢ χαλινὸν ἐμβάλλοντας
large stone as-if bolt or bit throwing
τῇ φωνῇ, καὶ νυκτὸς οὕτως ὑπερφέρεσθαι λανθάνοντας.
to-the voice and by-night so to-be-carried-over escaping-notice
εἰ τοίνυν ἔροιτό τις
if then should-ask anyone

‘τὸν κάκιστον ὅστις ἐστὶ καὶ τὸν ἐξωλέστατον,’
the worst who is and the most-pernicious

οὐδεὶς ἂν ἄλλον εἴποι τὸν προδότην παρελθών. Εὐθυκράτης
no-one — other would-say the traitor passing-over Euthycrates
μὲν οὖν ‘ἤρεψε τὴν οἰκίαν τοῖς ἐκ Μακεδονίας ξύλοις’ ὥς
indeed then roofed the house with-the from Macedonia timbers as
φησι Δημοσθένης· Φιλοκράτης δὲ χρυσίον πολὺ λαβὼν
says Demosthenes Philocrates and gold much having-taken
‘πόρνας καὶ ἰχθῦς ἠγόραζεν·’ Εὐφόρβῳ δὲ καὶ Φιλάγρῳ
harlots and fish bought to-Euphorbus and and Philagrus
τοῖς Ἐρέτριαν προδοῦσι χώραν ὁ βασιλεὺς ἔδωκεν. ὁ
the Eretria having-betrayed land the king gave the
δ’ ἀδόλεσχος ἄμισθός ἐστι προδότης καὶ αὐτεπάγγελτος,
but talker unpaid is traitor and self-offered
οὐχ ἵππους οὐδὲ τείχη προδιδούς, ἀλλὰ λόγους ἐκφέρων
not horses nor walls betraying but words carrying-out
ἀπορρήτους ἐν δίκαις ἐν στάσεσιν ἐν διαπολιτείαις,
secret in lawsuits in factions in public-quarrels
μηδενὸς αὐτῷ χάριν ἔχοντος· ἀλλ’ ἂν αὐτὸς ἀκούηται,
nobody to-him gratitude having but if he-himself be-listened-to

προσοφείλων χάριν. ὥστε τὸ λελεγμένον πρὸς τὸν εἰκῆ
owing-in-addition gratitude so-that the said to the at-random
καὶ ἀκρίτως ἐκχέοντα τὰ ἑαυτοῦ καὶ καταχαριζόμενον
and indiscriminately pouring-out the his-own and lavishing

‘οὐ φιλάνθρωπος σύ γ’ ἐσσ’· ἔχεις νόσον, χαίρεις διδούς’
not humane you at-least are you-have disease you-rejoice giving

ἐναρμόττει καὶ πρὸς τὸν φλύαρον· οὐ φίλος εἶ σὺ ταῦτα
fits also toward the babbler not friend are you these-things
μηνύων οὐδ’ εὔνους· ἔχεις νόσον, χαίρεις λαλῶν καὶ
informing nor well-disposed you-have disease you-rejoice chattering and
φλυαρῶν.
babbling
ταῦτα δ’ οὐ κατηγορίαν ἡγητέον ἀλλ’ ἰατρείαν 16
these-things and not accusation must-be-considered but cure
τῆς ἀδολεσχίας· τῶν γὰρ παθῶν κρίσει καὶ ἀσκήσει
of-the talkativeness of-the for passions by-judgment and by-practice
περιγιγνόμεθα, προτέρα δ’ ἡ κρίσις ἐστίν. οὐδεὶς γὰρ
we-prevail prior and the judgment is no-one for
ἐθίζεται φεύγειν καὶ ἀποτρίβεσθαι τῆς ψυχῆς ὃ
is-accustomed to-shun and to-rub-off from-the soul what
μὴ δυσχεραίνει. δυσχεραίνομεν δὲ τὰ πάθη, ὅταν τὰς
not he-dislikes we-dislike and the passions when the
βλάβας καὶ τὰς αἰσχύνας τὰς ἀπ’ αὐτῶν τῷ λόγῳ
harms and the disgraces the from them by-the reason
κατανοήσωμεν· ὥσπερ νῦν κατανοοῦμεν ἐπὶ τῶν
we-perceive as now we-perceive in-the-case-of the
ἀδολέσχων, ὅτι φιλεῖσθαι βουλόμενοι μισοῦνται, χαρίζεσθαι
talkative that to-be-loved wishing they-are-hated to-gratify
θέλοντες ἐνοχλοῦσι, θαυμάζεσθαι δοκοῦντες καταγελῶνται,
wishing they-annoy to-be-admired thinking they-are-laughed-at

κερδαίνοντες οὐδὲν ἀναλίσκουσιν· ἀδικοῦσι τοὺς φίλους,
gaining nothing they-spend they-wrong the friends
ὠφελοῦσι τοὺς ἐχθρούς, ἑαυτοὺς ἀπολλύουσιν. ὥστε τοῦτο
they-help the enemies themselves they-destroy so-that this
πρῶτον ἴαμα καὶ φάρμακόν ἐστι τοῦ πάθους, ὁ τῶν
first cure and remedy is of-the passion the of-the
ἀπ᾽ αὐτοῦ γιγνομένων αἰσχρῶν καὶ ὀδυνηρῶν ἐπιλογισμός.
from it arising shameful and painful reckoning
17 δευτέρῳ δὲ χρηστέον ἐπιλογισμῷ τῷ τῶν ἐναντίων,
second and one-must-use reckoning the of-the opposites
ἀκούοντας ἀεὶ καὶ μεμνημένους καὶ πρόχειρ᾽ ἔχοντας τὰ
hearing always and remembering and at-hand having the
τῆς ἐχεμυθίας ἐγκώμια, καὶ τὸ σεμνὸν καὶ τὸ ἅγιον καὶ τὸ
of-the reticence praises and the solemn and the holy and the
μυστηριῶδες τῆς σιωπῆς, καὶ ὅτι θαυμάζονται μᾶλλον καὶ
mystic of-the silence and that are-admired more and
ἀγαπῶνται καὶ σοφώτεροι δοκοῦσι τῶν ἐξηνίων τούτων
are-loved and wiser seem than-the unbridled these
καὶ φερομένων οἱ στρογγύλοι καὶ βραχυλόγοι, καὶ ὧν
and carried-away the terse and brief-spoken and of-whom
πολὺς νοῦς ἐν ὀλίγῃ λέξει συνέσταλται. καὶ γὰρ Πλάτων
much sense in little diction is-compressed and for Plato
τοὺς τοιούτους ἐπαινεῖ, δεινοῖς ἀκοντισταῖς ἐοικέναι λέγων,
the such praises to-terrible javelin-throwers to-be-like saying
οὖλα καὶ πυκνὰ καὶ συνεστραμμένα φθεγγομένους. καὶ ὁ
crisp and dense and compact uttering and —
Λυκοῦργος εἰς ταύτην τὴν δεινότητα τοὺς πολίτας εὐθὺς
Lycurgus into this the cleverness the citizens at-once
ἐκ παίδων τῇ σιωπῇ πιέζων συνῆγε καὶ κατεπύκνου.
from childhood by-the silence pressing compacted and condensed
καθάπερ γὰρ οἱ Κελτίβηρες ἐκ τοῦ σιδήρου τὸ στόμωμα
as for the Celtiberians from the iron the edge

ποιοῦσιν, ὅταν κατορύξαντες εἰς τὴν γῆν τὸ πολὺ καὶ
make when having-buried into the earth the much and
γεώδες ἀποκαθήρωσιν, οὕτως ὁ Λακωνικὸς λόγος οὐκ
earthy they-purge so the Laconian speech not
ἔχει φλοιόν, ἀλλ' εἰς αὐτὸ τὸ δραστήριον ἀφαιρέσει τοῦ
has bark but into very the effective by-removal of-the
περιττοῦ διωκόμενος στομοῦται· τὸ γὰρ ἀποφθεγματικὸν
superfluous being-pursued is-steeled the for apophthegmatic
αὐτοῖς τοῦτο καὶ τὸ μετ' εὐστροφίας ὀξὺ πρὸς τὰς
in-them this and the with quick-turning sharp for the
ἀπαντήσεις ἐκ τῆς πολλῆς περιγίγνεται σιωπῆς.
replies from the much results silence
καὶ δεῖ τὰ τοιαῦτα μάλιστα τοῖς ἀδολέσχοις προβάλλειν
and one-must the such-things most to-the talkative to-put-forward
ὅσην χάριν ἔχει καὶ δύναμιν, οἷόν ἐστι τὸ 'Λακεδαιμόνιοι
how-much grace has and power such-as is the Lacedaemonians
Φιλίππῳ' 'Διονύσιος ἐν Κορίνθῳ.' καὶ πάλιν γράψαντος
to-Philip Dionysius in Corinth and again having-written
αὐτοῖς τοῦ Φιλίππου 'ἂν ἐμβάλω εἰς τὴν Λακωνικήν,
to-them — Philip if I-invade into — Laconia
ἀναστάτους ὑμᾶς ποιήσω,' ἀντέγραψαν 'αἴκα.' Δημητρίου
ruined you I-will-make they-wrote-back if of-Demetrius
δὲ τοῦ βασιλέως ἀγανακτοῦντος καὶ βοῶντος 'ἕνα πρὸς
and the king being-indignant and shouting one to
ἐμὲ Λακεδαιμόνιοι πρεσβευτὴν ἔπεμψαν' οὐ καταπλαγεὶς
me Lacedaemonians ambassador have-sent not dismayed
ὁ πρεσβευτής 'ἕν" εἶπε 'ποτὶ ἕνα.' θαυμάζονται δὲ καὶ
the ambassador one he-said to one are-admired and also
τῶν παλαιῶν οἱ βραχυλόγοι. καὶ τῷ ἱερῷ τοῦ Πυθίου
of-the ancients the brief-spoken and on-the temple of-the Pythian
Ἀπόλλωνος οὐ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν οὐδὲ τοὺς
Apollo not the Iliad and the Odyssey nor the

Πινδάρου παιᾶνας ἐπέγραψαν οἱ Ἀμφικτύονες, ἀλλὰ τὸ
of-Pindar paeans inscribed the Amphictyons but the
‘γνῶθι σαυτόν’ καὶ τὸ ‘μηδὲν ἄγαν’ καὶ τὸ ‘ἐγγύα πάρα
know yourself and the nothing too-much and the pledge near
δ’ ἄτα,’ θαυμάσαντες τῆς λέξεως τὸ εὔογκον καὶ τὸ
and ruin admiring of-the diction the compactness and the
λιτόν, ἐν βραχεῖ σφυρήλατον νοῦν περιεχούσης. αὐτὸς δ’
simplicity in brief hammered sense containing himself and
ὁ θεὸς οὐ φιλοσύντομός ἐστι καὶ βραχυλόγος ἐν τοῖς
the god not concise is-he and brief-spoken in the
χρησμοῖς, καὶ Λοξίας καλεῖται διὰ τὸ φεύγειν τὴν
oracles and Loxias is-called because-of the to-shun the
ἀδολεσχίαν μᾶλλον ἢ τὴν ἀσάφειαν;
talkativeness rather than the obscurity
οἱ δὲ συμβολικῶς ἄνευ φωνῆς ἃ δεῖ φράζοντες οὐκ
those and symbolically without voice what one-must indicating not
ἐπαινοῦνται καὶ θαυμάζονται διαφερόντως; ὡς Ἡράκλειτος,
are-they-praised and are-admired exceptionally as Heraclitus
ἀξιούντων αὐτὸν τῶν πολιτῶν γνώμην τιν’ εἰπεῖν περὶ
asking him the citizens opinion some to-give about
ὁμονοίας, ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ λαβὼν ψυχροῦ
concord having-gone-up onto the platform and having-taken of-cold-water
κύλικα καὶ τῶν ἀλφίτων ἐπιπάσας καὶ τῷ γλήχωνι
cup and with-the barley-meal having-sprinkled and with-the pennyroyal
κινήσας, ἐκπιὼν ἀπῆλθεν· ἐπιδειξάμενος αὐτοῖς, ὅτι
having-stirred having-drunk-it-off went-away having-shown them that
τὸ τοῖς τυχοῦσιν ἀρκεῖσθαι καὶ μὴ δεῖσθαι τῶν πολυτελῶν
the with-the chance-things to-be-content and not to-need the costly
ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατηρεῖ τὰς πόλεις. Σκιλοῦρος δὲ
in peace and concord preserves the cities Scilurus and
καταλιπὼν ὀγδοήκοντα παῖδας, ὁ Σκυθῶν βασιλεύς, ᾔτησε
having-left eighty sons the of-Scythians king asked-for

δέσμην δορατίων, ὅτ᾽ ἀπέθνῃσκε, καὶ λαβόντας ἐκέλευσε
bundle of-javelins when he-was-dying and them-having-taken ordered
καταθραῦσαι καὶ κατεάξαι συνδεδεμένην καὶ ἀθρόαν· ὡς δ᾽
to-break and to-snap-it bound-together and in-a-mass when and
ἀπεῖπον, αὐτὸς ἓν καθ᾽ ἓν ἕλκων πάντα ῥᾳδίως διέκλασε·
they-gave-up he-himself one by one drawing all easily broke
τὴν συμφωνίαν αὐτῶν καὶ τὴν ὁμόνοιαν ἰσχυρὸν ἀποφαίνων
the harmony their and the concord strong declaring
καὶ δυσκαθαίρετον, ἀσθενὲς δὲ τὴν διάλυσιν καὶ οὐ μόνιμον.
and hard-to-destroy weak but the dissolution and not lasting

IV · TRAINING THE TONGUE

Habit masters the vice, as Piso's servant answered only what he was asked. The talker should let others answer first and never answer for another; he should weigh questions and pause, as Socrates poured out his first bucket before drinking, and give the needed or courteous answer, not the superfluous one, letting the questioner's wish measure it, as Carneades was given his listener for the measure of his voice. He should guard against the subjects he loves most, his campaigns, his lawsuits, his learning, as Cyrus chose contests in which he was weaker, and not be like the man who told everyone the battle of Leuctra till he was called Epaminondas.

εἰ δὴ ταῦτα καὶ τὰ τοιαῦτα συνεχῶς τις σκοποῖ καὶ 18
if indeed these-things and the such-things continually anyone should-consider and
ἀναλαμβάνοι, παύσαιτ᾽ ἂν ἴσως ἡδόμενος τῷ φλυαρεῖν. ἐμὲ
take-up would-stop — perhaps taking-pleasure in-the babbling me
δὲ κἀκεῖνος ὁ οἰκέτης εὖ μάλα δυσωπεῖ, τὸ προσέχειν τῷ
and and-that the servant well very shames the to-attend to-the
λόγῳ καὶ κρατεῖν προαιρέσεως ἡλίκον ἐστὶν ἐνθυμούμενον.
word and to-master the-choice how-great it-is considering
Πούπιος Πείσων ὁ ῥήτωρ μὴ βουλόμενος ἐνοχλεῖσθαι
Pupius Piso the orator not wishing to-be-annoyed

προσέταξε τοῖς οἰκέταις πρὸς τὰ ἐρωτώμενα λαλεῖν καὶ
ordered to-the servants to the things-asked to-speak and
μηδὲν πλέον. εἶτα Κλώδιον ἄρχοντα δεξιώσασθαι βουλόμενος
nothing more then Clodius magistrate to-entertain wishing
ἐκέλευσε κληθῆναι, καὶ παρεσκευάσατο λαμπρὰν ὡς εἰκὸς
he-ordered him-to-be-invited and prepared splendid as likely
ἑστίασιν. ἐνστάσης δὲ τῆς ὥρας, οἱ μὲν ἄλλοι παρῆσαν ὁ
banquet having-arrived and the hour the indeed others were-present —
δὲ Κλώδιος προσεδοκᾶτο· καὶ πολλάκις ἔπεμψε τὸν εἰωθότα
but Clodius was-expected and often he-sent the accustomed
καλεῖν οἰκέτην, ἐποψόμενον εἰ πρόσεισιν. ὡς δ' ἦν
to-invite servant to-see if he-is-coming when and it-was
ἑσπέρα καὶ ἀπέγνωστο 'τί δ';' ἔφη πρὸς τὸν οἰκέτην
evening and he-had-been-given-up what then he-said to the servant
'ἐκάλεσας αὐτόν;' 'ἔγωγ" εἶπε. 'διὰ τί οὖν οὐκ ἀφῖκται;'
did-you-invite him I-did he-said for what then not has-he-come
κἀκεῖνος 'ὅτι ἠρνήσατο.' 'πῶς οὖν οὐκ εὐθὺς ἔφρασας;'
and-he because he-refused how then not at-once did-you-tell
'ὅτι τοῦτό μ' οὐκ ἠρώτησας.' οὕτω μὲν Ῥωμαϊκὸς
because this me not you-asked so indeed Roman
οἰκέτης, ὁ δ' Ἀττικὸς ἐρεῖ τῷ δεσπότῃ σκάπτων
servant the but Attic will-say to-the master digging

'ἐφ' οἷς γεγόνασιν αἱ διαλύσεις.'
on what-terms have-been-made the reconciliations

οὕτω μέγα πρὸς πάνθ' ὁ ἐθισμός ἐστι, καὶ περὶ τούτου
so great for all-things the habituation is and about this
γ' ἤδη λέγωμεν.
at-least now let-us-speak

οὐ γὰρ ἔστιν ὡς χαλινῶν ἐφαψαμένους ἐπισχεῖν τὸν 19
not for it-is-possible as of-bridles having-laid-hold to-restrain the
ἀδολέσχην, ἀλλ᾽ ἔθει δεῖ κρατῆσαι τοῦ νοσήματος.
talker but by-habit one-must to-master the disease
πρῶτον μὲν οὖν ἐν ταῖς τῶν πέλας ἐρωτήσεσι σαυτὸν
first indeed then in the of-the neighbors questions yourself
ἔθιζε σιωπᾶν, μέχρι οὗ πάντες ἀπείπωνται τὴν ἀπόκρισιν·
accustom to-be-silent until — all decline the answer

‘οὐ γάρ τι βουλῆς ταὐτὸ καὶ δρόμου τέλος’
not for at-all of-counsel the-same and of-race end

ὥς φησι Σοφοκλῆς, οὐδέ γε φωνῆς καὶ ἀποκρίσεως·
as says Sophocles nor indeed of-voice and of-answer
ἀλλ᾽ ἐκεῖ μὲν ἡ νίκη τοῦ φθάσαντός ἐστιν, ἐνταῦθα
but there indeed the victory of-the having-been-first is here
δέ, ἐὰν μὲν ἱκανῶς ἕτερος ἀποκρίνηται, καλῶς ἔχει
but if indeed adequately another answers well it-is
συνεπαινέσαντα καὶ συνεπιφήσαντα δόξαν εὐμενοῦς
having-joined-in-praising and having-joined-in-assenting reputation of-kindly
ἀνθρώπου λαβεῖν· ἐὰν δὲ μή, τότε καὶ διδάξαι τὸ
man to-get if but not then both to-teach the
ἠγνοημένον καὶ ἀναπληρῶσαι τὸ ἐλλεῖπον, ἀνεπίφθονον καὶ
not-known and to-fill-up the lacking unenvied and
οὐκ ἄκαιρόν ἐστι. μάλιστα δὲ φυλάττωμεν ἑαυτούς, ὅπως
not untimely is most and let-us-guard ourselves so-that
μὴ ἑτέρου τινὸς ἐρωτηθέντος αὐτοὶ προλαμβάνωμεν
not of-another someone having-been-asked we-ourselves anticipate
ὑποφθάνοντες τὴν ἀπόκρισιν. ἴσως μὲν γὰρ οὐδ᾽ ἄλλο
forestalling the answer perhaps indeed for not-even other
τι καλῶς ἔχον ἐστίν, αἰτηθέντος ἑτέρου, παρωσαμένους
anything well being is having-been-asked another having-pushed-aside

ἐκεῖνον αὐτοὺς ἐπαγγέλλεσθαι· δόξομεν γὰρ ἅμα καὶ
him ourselves to-promise we-will-seem for at-once both
τοῦτον ὡς παρασχεῖν ὃ αἰτεῖται μὴ δυνάμενον, κἀκεῖνον
this-one as to-provide what is-asked not able and-that-one
ὡς αἰτεῖν παρ' ὧν δύναται λαβεῖν οὐκ ἐπιστάμενον,
as to-ask from whom he-can to-receive not knowing-how
ὀνειδίζειν· μάλιστα δ' ὕβριν φέρει περὶ τὰς ἀποκρίσεις
to-reproach most and insolence carries about the answers
ἡ τοιαύτη προπέτεια καὶ θρασύτης· συνεμφαίνει γὰρ ὁ
the such precipitancy and rashness shows-forth-with for the
φθάνων ἐν τῷ ἀποκρίνεσθαι τὸν ἐρωτώμενον τὸ 'τί
anticipating in the answering the one-asked the what
τούτου δέῃ;' καὶ 'τί οὗτος οἶδε;' 'κἀμοῦ παρόντος, περὶ
of-this do-you-need and what this-man knows and-I being-present about
τούτων οὐδένα δεῖ ἄλλον ἐρωτᾶν.' καίτοι πολλάκις
these-things no-one one-must other to-ask and-yet often
τινὰς ἐρωτῶμεν οὐ τοῦ λόγου δεόμενοι, φωνὴν δέ τινα καὶ
some we-ask not the word needing voice but some and
φιλοφροσύνην ἐκκαλούμενοι παρ' αὐτῶν, καὶ προαγαγεῖν εἰς
friendliness calling-forth from them and to-draw-on into
ὁμιλίαν ἐθέλοντες, ὡς Σωκράτης Θεαίτητον καὶ Χαρμίδην.
conversation wishing as Socrates Theaetetus and Charmides
ὅμοιον οὖν τῷ τὸν ὑφ' ἑτέρου βουλόμενον φιληθῆναι
like then to-the the by another wishing to-be-kissed
προδραμόντα φιλεῖν αὐτὸν ἢ τὸν ἑτέρῳ προσβλέποντα
having-run-forward to-kiss him or the at-another looking
μεταστρέφειν εἰς ἑαυτὸν τὸ προλαμβάνειν τὰς ἀποκρίσεις
to-turn toward oneself the anticipating the answers
καὶ τὰ ὦτα μετάγειν, καὶ τὴν διάνοιαν ἕλκειν καὶ
and the ears to-draw-away and the attention to-drag and
ἀποστρέφειν πρὸς ἑαυτόν· ὅπου, κἂν ἀπείπηται τὸν
to-turn toward oneself where even-if refuses the

λόγον ὁ αἰτηθείς, ἐπισχόντα καλῶς ἔχει καὶ πρὸς
word the one-asked having-held-back well it-is and to
τὸ βουλόμενον τοῦ ἐρωτῶντος ἁρμοσάμενον ὡς ἐπὶ
the wish of-the one-asking having-fitted as at
κλῆσιν ἀλλοτρίαν τὴν ἀπόκρισιν, αἰδημόνως καὶ κοσμίως
invitation another's the answer modestly and decorously
ἀπαντᾶν. καὶ γὰρ οἱ μὲν ἐρωτηθέντες, ἂν σφαλῶσιν
to-meet and for the indeed asked if they-slip
ἐν τῷ ἀποκρίνεσθαι, συγγνώμης δικαίας τυγχάνουσιν·
in the answering pardon just obtain
ὁ δ' αὐθαιρέτως ὑφιστάμενος καὶ προλαμβάνων τὸν
the but voluntarily undertaking and anticipating the
λόγον ἀηδὴς μέν ἐστι καὶ κατορθῶν, διαμαρτάνων δὲ
word unpleasant indeed is even succeeding failing but
παντάπασιν ἐπίχαρτος γίγνεται καὶ καταγέλαστος.
altogether an-object-of-glee becomes and laughable
δεύτερον τοίνυν ἄσκημα πρὸς τὰς ἰδίας ἀποκρίσεις ἐστίν, 20
second then exercise for the own answers is
αἷς οὐχ ἥκιστα δεῖ προσέχειν τὸν ἀδόλεσχον· πρῶτον μέν,
to-which not least must to-attend the talker first indeed
ἵνα μὴ λάθῃ τοῖς ἐπὶ γέλωτι καὶ ὕβρει προκαλουμένοις
so-that not he-escape-notice to-those for laughter and insult calling-out
εἰς λόγους αὐτὸν ἀποκρινόμενος μετὰ σπουδῆς. ἔνιοι
into words him answering with seriousness some
γὰρ οὐδὲν δεόμενοι διατριβῆς δὲ καὶ παιδιᾶς ἕνεκα
for nothing needing of-pastime but and of-play for-the-sake
συνθέντες τινὰς ἐρωτήσεις προβάλλουσι τοῖς τοιούτοις καὶ
having-composed certain questions put-them to-the such and
ἀνακινοῦσιν αὐτῶν τὸν λῆρον· ὃ δεῖ φυλάττεσθαι, καὶ
stir-up their the nonsense which one-must to-guard-against and
μὴ ταχὺ τῷ λόγῳ μηδ' ὥσπερ χάριν ἔχοντας ἐπιπηδᾶν,
not quickly at-the word nor as-if favor having to-leap-on

ἀλλὰ καὶ τὸν τρόπον τοῦ πυνθανομένου σκοπεῖν καὶ τὴν
but also the character of-the inquirer to-consider and the
χρείαν. ὅταν δὲ φαίνηται τῷ ὄντι βουλόμενος μαθεῖν,
need when but he-appears in-the reality wishing to-learn
ἐθιστέον ἐφιστάναι καὶ ποιεῖν τι διάλειμμα μεταξὺ
one-must-accustom-oneself to-pause and to-make some interval between
τῆς ἐρωτήσεως καὶ τῆς ἀποκρίσεως· ἐν ᾧ προσθεῖναι
the question and the answer in which to-add
μὲν ὁ ἐρωτῶν, εἴ τι βούλεται, δύναται, σκέψασθαι
indeed the questioner if anything he-wishes can to-consider
δ' αὐτὸς περὶ ὧν ἀποκρινεῖται, καὶ μὴ κατατρέχειν μηδὲ
and himself about what he-will-answer and not to-run-over nor
καταχωννύναι τὴν ἐρώτησιν, ἔτι πυνθανομένοις πολλάκις
to-heap-up the question still inquiring often
ὑπὸ σπουδῆς ἄλλας ἀντ' ἄλλων ἀποκρίσεις διδόντα.
by haste other instead-of other answers giving
ἡ μὲν γὰρ Πυθία καὶ πρὸ ἐρωτήσεως αὐθωρὶ χρησμοὺς
the indeed for Pythia even before question on-the-spot oracles
εἴωθέ τινας ἐκφέρειν· ὁ γὰρ θεός, ᾧ λατρεύει,
is-wont some to-utter the for god whom she-serves

'καὶ κωφοῦ ξυνίησι καὶ οὐ λαλέοντος ἀκούει.'
both of-dumb understands and not speaking hears

τὸν δὲ βουλόμενον ἐμμελῶς ἀποκρίνασθαι δεῖ τὴν διάνοιαν
the but wishing fittingly to-answer must the intention
ἀναμεῖναι καὶ τὴν προαίρεσιν ἀκριβῶς καταμαθεῖν τοῦ
to-wait-for and the purpose exactly to-learn of-the
πυνθανομένου, μὴ γένηται τὸ κατὰ τὴν παροιμίαν
inquirer lest happen the according-to the proverb

‘ἄμας ἀπήτουν, οἱ δ’ ἀπηρνοῦντο σκάφας.’
buckets they-asked-for they and denied spades

ἄλλως δὲ τὸ λάβρον τοῦτο καὶ πρὸς τοὺς λόγους
otherwise and the greediness this and for the words
ὀξύπεινον ἀνακρουστέον, ἵνα μὴ δοκῇ καθάπερ ῥεῦμα τῇ
ravenous must-be-repelled so-that not it-seem as-if flood at-the
γλώττῃ πάλαι προσιστάμενον ἀσμένως ὑπὸ τῆς ἐρωτήσεως
tongue long standing-against gladly by the question
ἐξερᾶσθαι. καὶ γὰρ ὁ Σωκράτης οὕτως ἐκόλουε τὴν
to-be-vomited-out and for — Socrates so curbed the
δίψαν, οὐκ ἐφιεὶς ἑαυτῷ πιεῖν μετὰ γυμνάσιον, εἰ μὴ τὸν
thirst not allowing himself to-drink after exercise if not the
πρῶτον ἐκχέοι κάδον ἀνιμήσας, ὅπως ἐθίζηται
first be-poured-out bucket having-drawn so-that it-might-be-accustomed
τὸν τοῦ λόγου καιρὸν ἀναμένειν τὸ ἄλογον.
the of-the reason occasion to-await the irrational
ἔστι τοίνυν τρία γένη τῶν πρὸς τὰς ἐρωτήσεις ἀποκρίσεων, 21
there-are then three kinds of-the to the questions answers
τὸ μὲν ἀναγκαῖον τὸ δὲ φιλάνθρωπον τὸ δὲ
the(-one) indeed necessary the(-other) and courteous the(-other) and
περισσόν. οἷον πυθομένου τινὸς εἰ Σωκράτης ἔνδον,
superfluous as-for-example having-inquired someone whether Socrates is-inside
ὁ μὲν ἀπροθύμως καὶ ὥσπερ ἄκων ἀποκρίνεται τὸ ‘οὐκ
the(-one) indeed unwillingly and as-if reluctant answers the not

ἔνδον·' ἐὰν δὲ βούληται λακωνίζειν, καὶ τὸ 'ἔνδον' ἀφελὼν
inside if but he-wish to-laconize also the inside having-removed
αὐτὴν μόνην φθέγξεται τὴν ἀπόφασιν· ὡς ἐκεῖνοι, Φιλίππου
it alone he-will-utter the denial as they Philip
γράψαντος εἰ δέχονται τῇ πόλει αὐτόν, εἰς χάρτην ΟΥ
having-written whether they-receive in-the city him on paper NO
μέγα γράψαντες ἀπέστειλαν. ὁ δὲ φιλανθρωπότερον
large having-written sent-back the(-other) and more-courteously
ἀποκρίνεται 'οὐκ ἔνδον ἀλλ' ἐπὶ ταῖς τραπέζαις·' κἂν
answers not inside but at the tables and-if
βούληται προσεπιμετρῆσαι, 'ξένους τινὰς ἐκεῖ περιμένων.'
he-wish to-add-further strangers some there awaiting
ὁ δὲ περιττὸς καὶ ἀδολέσχης, ἄν γε δὴ τύχῃ καὶ τὸν
the but superfluous and talker if at-least indeed he-happen also the
Κολοφώνιον ἀνεγνωκὼς Ἀντίμαχον, 'οὐκ ἔνδον' φησὶν 'ἀλλ'
Colophonian having-read Antimachus not inside he-says but
ἐπὶ ταῖς τραπέζαις, ξένους ἀναμένων Ἴωνας, ὑπὲρ ὧν
at the tables strangers awaiting Ionians about which
αὐτῷ γέγραφεν Ἀλκιβιάδης περὶ Μίλητον ὤν, καὶ παρὰ
to-him has-written Alcibiades near Miletus being and with
Τισσαφέρνει διατρίβων, τῷ τοῦ μεγάλου σατράπῃ βασιλέως,
Tissaphernes staying the of-the great satrap king
ὃς πάλαι μὲν ἐβοήθει Λακεδαιμονίοις, νῦν δὲ προστίθεται
who formerly indeed helped Lacedaemonians now but attaches-himself
δι' Ἀλκιβιάδην Ἀθηναίοις· ὁ γὰρ Ἀλκιβιάδης ἐπιθυμῶν
through Alcibiades to-Athenians — for Alcibiades desiring
κατελθεῖν εἰς τὴν πατρίδα τὸν Τισσαφέρνην μετατίθησι.'
to-return into the fatherland — Tissaphernes is-changing
καὶ ὅλως τὴν ὀγδόην Θουκυδίδου κατατεινάμενος ἐρεῖ
and in-general the eighth of-Thucydides having-strung-out he-will-recite

καὶ κατακλύσει τὸν ἄνθρωπον, ἕως φθάσῃ καὶ Μίλητος
and will-deluge the man until there-comes-first also Miletus
ἐκπολεμωθεῖσα καὶ φυγαδευθεὶς τὸ δεύτερον Ἀλκιβιάδης.
made-hostile and exiled the second-time Alcibiades
μάλιστα δὴ περὶ τοῦτο δεῖ τὴν ἀδολεσχίαν συνέχειν
most indeed about this one-must the talkativeness to-hold-in
ὥσπερ εἰς ἴχνος ἐμβιβάζοντα τὴν ἐρώτησιν καὶ ὡς
as-if into track setting the question and as-if
κέντρῳ καὶ διαστήματι τῇ χρείᾳ τοῦ πυνθανομένου
with-center and radius by-the need of-the inquirer
περιγράφοντα τὴν ἀπόκρισιν. Καρνεάδην μὲν γὰρ οὔπω
circumscribing the answer Carneades indeed for not-yet
μεγάλην ἔχοντα δόξαν, ἐν τῷ γυμνασίῳ διαλεγόμενον
great having reputation in the gymnasium lecturing
πέμψας ὁ γυμνασίαρχος ἐκέλευσεν ὑφεῖναι τὸ μέγεθος τῆς
having-sent the gymnasiarch ordered to-lower the volume of-the
φωνῆς (ἦν γὰρ μεγαλοφωνότατος)· εἰπόντος δ' ἐκείνου
voice he-was for loudest-voiced having-said and he
'δός μοι μέτρον φωνῆς,' οὐ φαύλως ὑπέτυχε 'δίδωμι τὸν
give me measure of-voice not badly he-replied I-give the
προσδιαλεγόμενον.' τῷ δ' ἀποκρινομένῳ μέτρον ἔστω ἡ
interlocutor to-the but answering measure let-be the
τοῦ ἐρωτῶντος βούλησις.
of-the questioner wish
καὶ μὴν ὥσπερ ὁ Σωκράτης ἐκέλευε φυλάττεσθαι τῶν 22
and indeed as — Socrates bade to-guard-against of-the
σιτίων ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει καὶ τῶν
foods as-many-as not hungry to-eat persuade and of-the
πωμάτων ὅσα πίνειν μὴ διψῶντας, οὕτω χρὴ καὶ
drinks as-many-as to-drink not thirsty so one-must also
τῶν λόγων τὸν ἀδολέσχην, οἷς ἥδεται μάλιστα καὶ
of-the words the talker in-which he-takes-pleasure most and

κέχρηται κατακόρως, τούτους φοβεῖσθαι καὶ πρὸς τούτους
has-used to-satiety these to-fear and against these
ἐπιρρέοντας ἀντιβαίνειν. οἷον οἱ στρατιωτικοὶ πολέμων εἰσὶ
flowing-in to-resist as the soldiers of-wars are
διηγηματικοί· καὶ τὸν Νέστορα τοιοῦτον ὁ ποιητὴς εἰσάγει,
narrators and — Nestor such the poet brings-on
τὰς αὑτοῦ πολλάκις ἀριστείας καὶ πράξεις διηγούμενον.
the his-own often exploits and deeds narrating
ἐπιεικῶς δὲ καὶ τοῖς περὶ δίκας εὐστοχήσασιν ἢ παρ᾽
fairly and also to-those in lawsuits having-been-successful or with
ἡγεμόσι καὶ βασιλεῦσιν ἀπροσδοκήτως εὐημερήσασιν ὥσπερ
rulers and kings unexpectedly having-prospered as-if
νόσημά τι προσπίπτει καὶ παρακολουθεῖ τὸ μεμνῆσθαι καὶ
disease some befalls and attends the to-remember and
διηγεῖσθαι πολλάκις, ὃν τρόπον εἰσῆλθον προσήχθησαν
to-narrate often in-what way they-entered were-introduced
ἠγωνίσαντο διελέχθησαν, ἐξήλεγξαν ἀντιδίκους τινὰς ἢ
contended conversed refuted opponents some or
κατηγόρους, ἐπῃνέθησαν. πολλῷ γάρ ἐστιν ἡ χαρὰ τῆς
accusers were-praised much for is the joy than-the
κωμικῆς ἐκείνης ἀγρυπνίας λαλίστερον, ἀναρριπίζουσα
comic that sleeplessness more-talkative fanning
πολλάκις ἑαυτὴν καὶ πρόσφατον ποιοῦσα τοῖς διηγήμασιν.
often itself and fresh making with-the narratives
ὅθεν ὀλισθηροὶ πρὸς τοὺς τοιούτους τῶν λόγων εἰσὶν ἐκ
whence slippery toward the such of-the words they-are from
πάσης προφάσεως· οὐ γὰρ μόνον
every pretext not for only

‘ὅπου τις ἀλγεῖ, κεῖθι καὶ τὴν χεῖρ᾽ ἔχει,’
where anyone aches there also the hand he-has

ἀλλὰ καὶ τὸ ἡδόμενον ἕλκει τὴν φωνὴν ἐφ᾽ ἑαυτὸ καὶ περιάγει
but also the pleasurable draws the voice to itself and leads-around
τὴν γλῶτταν, ἐπερείδειν ἀεὶ τῇ μνήμῃ βουλόμενον.
the tongue to-lean-on always on-the memory wishing
οὕτω καὶ τοῖς ἐρωτικοῖς ἡ πλείστη διατριβὴ περὶ λόγους
so also to-the erotic the most pastime about words
μνήμην τινὰ τῶν ἐρωμένων ἀναδιδόντας· οἵ γε κἂν μὴ
memory some of-the beloved reviving who at-least even-if not
πρὸς ἀνθρώπους, πρὸς ἄψυχα περὶ αὐτῶν διαλέγονται
to men to inanimate-things about them talk

‘ὦ φιλτάτη κλίνη’
O dearest bed

καὶ
and

‘Βακχὶς θεόν σ᾽ ἐνόμισεν, εὔδαιμον λύχνε·
Bacchis god you thought blessed lamp
καὶ τῶν θεῶν μέγιστος ἐν ταύτῃ δοκεῖς.’
and of-the gods greatest in her you-seem

ἔστι μὲν οὖν ἀτεχνῶς ἡ λευκὴ στάθμη πρὸς τοὺς λόγους
is indeed then simply the white rule toward the words
ὁ ἀδόλεσχος· οὐ μὴν ἀλλ᾽ ὁ μᾶλλον ἑτέρων ἑτέροις
the talker not indeed but the(-one) more than-others to-some
προσπεπονθὼς ὀφείλει τούτους φυλάττεσθαι καὶ ἀνέχειν
affected ought these to-guard-against and to-hold-back
ἑαυτὸν ἀπὸ τούτων καὶ ἀνακρούειν, ὡς πορρωτάτω
himself from these and to-repel as farthest
προάγειν καὶ ἀπομηκύνειν ἀεὶ δι᾽ ἡδονὴν δυναμένων. τὸ
to-lead-on and to-prolong always through pleasure able the

δ᾽ αὐτὸ τοῦτο καὶ πρὸς τοὺς λόγους ἐκείνους πεπόνθασιν,
and same this also toward the words those they-suffer
ἐν οἷς κατ᾽ ἐμπειρίαν ἢ ἕξιν τινὰ τῶν ἄλλων διαφέρειν
in which by experience or state some than-the others to-excel
νομίζουσι. φίλαυτος γὰρ ὢν καὶ φιλόδοξος ὁ τοιοῦτος
they-think self-loving for being and glory-loving the such

‘νέμει τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,
assigns the most of-the-day to-this part
ἵν᾽ αὐτὸς αὑτοῦ τυγχάνει κράτιστος ὤν,’
where himself than-himself happens best being

ἐν ἱστορίαις ὁ ἀναγνωστικός, ἐν τεχνολογίαις ὁ
in histories the well-read in technical-treatises the
γραμματικός, ἐν διηγήμασι ξενικοῖς ὁ πολλὴν χώραν
grammarian in narratives foreign the(-one) much country
ἐπεληλυθὼς καὶ πεπλανημένος. ὥστε καὶ ταῦτα δεῖ
having-traversed and having-wandered so-that also these-things one-must
φυλάττεσθαι· δελεαζομένη γὰρ ὑπ᾽ αὐτῶν ἡ ἀδολεσχία
to-guard-against being-baited for by them the talkativeness
καθάπερ ζῷον ἐπὶ νομὰς συνήθεις πρόεισι. θαυμαστὸς
as animal to pastures accustomed goes-forth admirable
δ᾽ ὁ Κῦρος, ὅτι καὶ τὰς ἁμίλλας ἐποιεῖτο πρὸς τοὺς
and — Cyrus because also the contests made with the
ἡλικας, οὐκ ἐν οἷς κρείττων ἀλλ᾽ ἐν οἷς ἀπειρότερος ἦν
age-mates not in which better but in which more-inexperienced he-was
ἐκείνων, εἰς ταῦτα προκαλούμενος· ἵνα μήτε λυπῇ
than-those into these challenging so-that neither he-might-grieve
παρευδοκιμῶν καὶ μανθάνων ὠφελῆται. ὁ δ᾽ ἀδολέσχης
outshining and learning might-be-benefited the but talker
τοὐναντίον, ἂν μέν τις ἐμπέσῃ λόγος, ἐξ οὗ μαθεῖν τι
the-opposite if indeed some fall-in discourse from which to-learn something

δύναται καὶ πυθέσθαι τῶν ἀγνοουμένων, τοῦτον ἐξωθεῖ
he-can and to-inquire of-the things-unknown this he-thrusts-out
καὶ ἐκκρούει, μισθὸν οὕτω δοῦναι βραχὺν τῷ σιωπῆσαι
and knocks-away wage so to-give small for-the to-be-silent
μὴ δυνάμενος· εἰς δὲ τὰς ἑώλους καὶ πολυπατήτους κύκλῳ
not able into and the stale and much-trodden in-a-circle
περιὼν εἰσελαύνει ῥαψῳδίας τὸν λόγον· ὡς τῶν παρ' ἡμῖν
going-round drives rhapsodies the speech as of-the among us
τις κατὰ τύχην ἀνεγνωκὼς δύο τῶν Ἐφόρου βιβλίων
someone by chance having-read two of-the of-Ephorus books
ἢ τρία, πάντας ἀνθρώπους κατέτριβε καὶ πᾶν ἀνάστατον
or three all men wore-out and every overturned
ἐποίει συμπόσιον, ἀεὶ τὴν ἐν Λεύκτροις μάχην καὶ τὰ
made banquet always the at Leuctra battle and the
συνεχῆ διηγούμενος· ὅθεν Ἐπαμεινώνδας παρωνύμιον ἔσχεν.
following narrating whence Epaminondas nickname he-got

V · WRITING, SILENCE, AND SIMONIDES

The least harmful outlet is learning: the talker should write, as Antipater filled books against Carneades, whom he could not answer aloud, and should keep company with his betters. Before he speaks he should ask whether his words meet a need, help, or please. Let him remember Simonides, who often repented of speaking and never of silence: practice overcomes all things, and silence is free of thirst, as Hippocrates says, and of pain and grief.

οὐ μὴν ἀλλὰ τοῦτό γε τῶν κακῶν ἐλάχιστόν ἐστι, 23
not indeed but this at-least of-the evils least is
καὶ δεῖ παρατρέπειν εἰς ταῦτα τὴν ἀδολεσχίαν·
and one-must to-divert to these-things the talkativeness
ἧττον γὰρ ἀηδὲς ἔσται τὸ λάλον ἐν τῷ φιλολόγῳ
less for unpleasant will-be the chattering in the learned

πλεονάζον. ἐθιστέον δὲ καὶ γράφειν τι τοὺς
abounding one-must-accustom and also to-write something the
τοιούτους καὶ διαλέγεσθαι κατ' ἰδίαν. ὁ μὲν γὰρ
such and to-converse in private the indeed for
Στωικὸς Ἀντίπατρος, ὡς ἔοικε, μὴ δυνάμενος μηδὲ
Stoic Antipater as it-seems not being-able nor
βουλόμενος ὁμόσε χωρεῖν τῷ Καρνεάδῃ μετὰ
wishing to-close-quarters to-come — with-Carneades with
πολλοῦ ῥεύματος εἰς τὴν Στοὰν φερομένῳ, γράφων δὲ
much flow into — Stoa carried writing but
καὶ πληρῶν τὰ βιβλία τῶν πρὸς αὐτὸν ἀντιλογιῶν
and filling the books of-the against him counterarguments
'καλαμοβόας' ἐπεκλήθη· τὸν δ' ἀδολέσχην ἴσως ἂν ἡ
pen-shouter was-nicknamed the but talker perhaps — the
πρὸς τὸ γράφειν σκιαμαχία καὶ ἡ βοὴ τοῦ πλήθους
toward the writing shadow-fighting and the shouting of-the crowd
ἀπερύκουσα καθ' ἡμέραν ἐλαφρότερον παρασκευάσειε
keeping-away by day lighter would-make
τοῖς συνοῦσιν, ὥσπερ οἱ κύνες εἰς λίθους καὶ
to-the companions as the dogs on stones and
ξύλα τὸν θυμὸν ἀφέντες ἧττόν εἰσι χαλεποὶ τοῖς
wood the anger having-let-go less are harsh to-the
ἀνθρώποις. ἁρμόσει δ' αὐτοῖς σφόδρα καὶ τὸ μετὰ
men will-suit and them greatly also the with
κρειττόνων ἀεὶ καὶ πρεσβυτέρων ὁμιλεῖν· αἰσχυνόμενοι
betters always and elders to-associate feeling-shame
γὰρ αὐτῶν τὴν δόξαν ἐν ἔθει γενήσονται τοῦ
for their the reputation in habit they-will-become of-the
σιωπᾶν.
being-silent

τούτοις δ' ἀεὶ δεῖ καταμεμῖχθαι καὶ συμπεπλέχθαι
with-these and always one-must to-be-mixed and to-be-interwoven
τοῖς ἐθισμοῖς· τὴν προσοχὴν ἐκείνην καὶ τὸν ἐπιλογισμόν,
with-the habituations the attention that and the reflection
ὅταν τι μέλλωμεν λαλεῖν καὶ τὰ ῥήματα τῷ
when something we-are-about to-chatter and the words to-the
στόματι προστρέχῃ, 'τίς οὗτος ὁ λόγος ὁ ἐφεστὼς καὶ
mouth run-forward what this the word the pressing and
καταβιαζόμενος; ἐπὶ τί δ' ἡ γλῶσσ' ἀσπαίρει; τί δ'
forcing for what and the tongue gasps what and
εἰπόντι περιγίγνεται καλὸν ἢ τί σιωπήσαντι
to-one-having-spoken accrues fine or what to-one-having-kept-silent
δυσχερές;' οὐ γὰρ ὡς βάρος τι δεῖ πιέζοντ'
troublesome not for as burden some one-must pressing
ἀποθέσθαι τὸν λόγον, ἐπεὶ παραμένει γε καὶ ῥηθεὶς
to-put-down the word since remains at-least even spoken
ὁμοίως· ἀλλ' ἢ δι' αὑτοὺς ἄνθρωποι δεόμενοί τινος
alike but either for themselves men needing something
λαλοῦσιν ἢ τοὺς ἀκούοντας ὠφελοῦντες ἢ χάριν τινὰ
chatter or the hearers benefiting or favor some
παρασκευάζοντες ἀλλήλοις ὥσπερ ἁλσὶ τοῖς λόγοις
providing to-one-another as-if with-salt with-the words
ἐφηδύνουσι τὴν διατριβὴν καὶ τὴν πρᾶξιν, ἐν ᾗ
they-season the pastime and the business in which
τυγχάνουσιν ὄντες. εἰ δὲ μήτε τῷ λέγοντι χρήσιμον
they-happen being if but neither to-the speaker useful
μήτ' ἀναγκαῖον τοῖς ἀκούουσι τὸ λεγόμενον ἡδονή
nor necessary to-the hearers the said pleasure
τε καὶ χάρις οὐ πρόσεστι, διὰ τί λέγεται; τὸ γὰρ
both and grace not is-present for what is-it-said the for
μάτην καὶ διακενῆς οὐχ ἧττον ἐν τοῖς λόγοις ἢ
in-vain and to-no-purpose not less in the words than

τοῖς ἔργοις ἐστίν. ἐπὶ πᾶσι δὲ καὶ παρὰ ταῦτα
in-the deeds is upon all and and beyond these-things
πάντα δεῖ πρόχειρον ἔχειν καὶ μνημονεύειν τὸ
all one-must at-hand to-have and to-remember the
Σιμωνίδειον ὅτι λαλήσας μὲν πολλάκις μετενόησε,
Simonidean that having-chattered indeed often he-repented
σιωπήσας δ' οὐδέποτε· καὶ τὴν ἄσκησιν, ὅτι πάντων
having-kept-silent but never and the practice that all-things
ἐπικρατεῖ καὶ ἰσχυρόν ἐστιν· ὅπου καὶ λυγμὸν καὶ
it-prevails-over and strong is where even hiccup and
βῆχ' ἄνθρωποι τῷ προσέχειν ἀποβιαζόμενοι, μετὰ
cough men by-the attending forcing-back with
πόνου καὶ ἀλγηδόνος ἐξεκρούσαντο. σιγὴ δ' οὐ μόνον
toil and pain have-driven-out silence and not only
ἄδιψον, ὥς φησιν Ἱπποκράτης, ἀλλὰ καὶ ἄλυπον καὶ
thirstless as says Hippocrates but also griefless and
ἀνώδυνον.
painless

PLUTARCH

ΠΕΡΙ ΠΟΛΥΠΡΑΓΜΟΣΥΝΗΣ

On Being a Busybody

ON BEING A BUSYBODY

I · TURNING CURIOSITY INWARD

As a dark house is mended by moving its windows, the soul's diseases are best removed or turned around: busybodiness, a love of learning about others' evils, should look homeward at one's own faults. Most people, like Lamia, keep their eyes in a jar at home and put them on to go out, tracing their neighbors' ancestry and debts; Aristippus, hearing a few of Socrates' words, wasted away until he sailed to Athens and learned to know his own faults. The busybody pries into the very things doors and bolts exist to hide. If curiosity must work, let it study the heavens, the waning moon, and the plants, or the histories, which hold every evil and harm no one.

ἄπνουν ἢ σκοτεινὴν ἢ δυσχείμερον οἰκίαν ἢ νοσώδη φυγεῖν 1
windless or dark or wintry house or unhealthy to-flee
μὲν ἴσως ἄριστον· ἂν δὲ φιλοχωρῇ τις ὑπὸ συνηθείας,
indeed perhaps best if but is-attached anyone from habit
ἔστι καὶ φῶτα μεταθέντα καὶ κλίμακα μεταβαλόντα καὶ
it-is-possible also lights having-moved and staircase having-changed and
θύρας τινὰς ἀνοίξαντα τὰς δὲ κλείσαντα, λαμπροτέραν
doors some having-opened the(-others) and having-closed brighter
εὐπνουστέραν ὑγιεινοτέραν ἐργάσασθαι. καὶ πόλεις τινὲς
airier healthier to-make and cities some
οὕτω μεταθέντες ὠφέλησαν· ὥσπερ τὴν ἐμὴν πατρίδα
so having-shifted benefited as the my fatherland
πρὸς ζέφυρον ἄνεμον κεκλιμένην, καὶ τὸν ἥλιον ἐρείδοντα
toward west wind inclined and the sun pressing
δείλης ἀπὸ τοῦ Παρνασοῦ δεχομένην ἐπὶ τὰς ἀνατολὰς
in-the-afternoon from — Parnassus receiving to the east
τραπῆναι λέγουσιν ὑπὸ τοῦ Χαίρωνος. ὁ δὲ φυσικὸς
to-have-been-turned they-say by — Chaeron the and natural-philosopher
Ἐμπεδοκλῆς ὄρους τινὰ διασφάγα βαρὺν καὶ νοσώδη
Empedocles of-mountain a-certain cleft heavy and unhealthy

κατὰ τῶν πεδίων τὸν νότον ἐμπνέουσαν ἐμφράξας, λοιμὸν
down-on the plains the south-wind blowing-in having-blocked plague
ἔδοξεν ἐκκλεῖσαι τῆς χώρας. ἐπεὶ τοίνυν ἔστι τινὰ πάθη
seemed to-shut-out from-the country since then there-are some passions
νοσώδη καὶ βλαβερὰ καὶ χειμῶνα παρέχοντα τῇ ψυχῇ
unhealthy and harmful and winter providing to-the soul
καὶ σκότος, ἄριστον μὲν ἐξωθεῖν ταῦτα καὶ καταλύειν
and darkness best indeed to-thrust-out these and to-demolish
εἰς ἔδαφος, αἰθρίαν καὶ φῶς καὶ πνεῦμα καθαρὸν διδόντας
to ground clear-sky and light and air pure giving
ἑαυτοῖς· εἰ δὲ μή, μεταλαμβάνειν γε καὶ μεθαρμόττειν
to-ourselves if but not to-change at-least and to-readjust
ἀμωσγέπως περιάγοντας ἢ στρέφοντας. οἷον εὐθὺς ἡ
somehow turning-around or twisting as-for-example at-once the
πολυπραγμοσύνη φιλομάθειά τίς ἐστιν ἀλλοτρίων κακῶν,
busybodiness love-of-learning a-kind is of-others' evils
οὔτε φθόνου δοκοῦσα καθαρεύειν νόσος οὔτε κακοηθείας.
neither of-envy seeming to-be-clean disease nor of-malice

'τί τἀλλότριον, ἄνθρωπε βασκανώτατε,
why the-other's man most-malignant
κακὸν ὀξυδορκεῖς τὸ δ' ἴδιον παραβλέπεις;'
evil do-you-see-sharply the and own you-overlook

μετάθες ἔξωθεν καὶ μετάστρεψον εἴσω τὴν
shift from-outside and turn inward the
πολυπραγμοσύνην· εἰ χαίρεις κακῶν μεταχειριζόμενος
busybodiness if you-rejoice of-evils handling
ἱστορίαν, ἔχεις οἴκοι πολλὴν διατριβήν·
inquiry you-have at-home much pastime

‘ὅσσον ὕδωρ κατ’ Ἀλιζόνος ἢ δρυὸς ἀμφὶ πέτηλα,’
as-much-as water down Alizon or of-oak around leaves

τοσοῦτον πλῆθος εὑρήσεις ἁμαρτημάτων ἐν τῷ βίῳ καὶ
so-great multitude you-will-find of-errors in the life and
παθῶν ἐν τῇ ψυχῇ καὶ παροραμάτων ἐν τοῖς καθήκουσιν.
of-passions in the soul and of-oversights in the duties
ὡς γὰρ ὁ Ξενοφῶν λέγει τοῖς οἰκονομικοῖς ἴδιον εἶναι τῶν
as for — Xenophon says for-the good-housekeepers separate to-be of-the
ἀμφὶ θυσίαν σκευῶν, ἴδιον τῶν ἀμφὶ δεῖπνα τόπον, ἀλλαχοῦ
for sacrifice utensils separate of-the for dinners place elsewhere
κεῖσθαι τὰ γεωργικά, χωρὶς τὰ πρὸς πόλεμον· οὕτω
to-lie the farming-things apart the-things for war so
σοὶ τὰ μέν ἐστιν ἀπὸ φθόνου κακὰ κείμενα τὰ
for-you the(-ones) indeed are from envy evils lying the(-others)
δ’ ἀπὸ ζηλοτυπίας τὰ δ’ ἀπὸ δειλίας τὰ δ’ ἀπὸ
and from jealousy the(-others) and from cowardice the(-others) and from
μικρολογίας· ταῦτ’ ἔπελθε, ταῦτ’ ἀναθεώρησον· τὰς εἰς
stinginess these go-over these review the toward
γειτόνων θυρίδας καὶ τὰς παρόδους τῆς πολυπραγμοσύνης
neighbors’ windows and the passages of-the busybodiness
ἔμφραξον, ἑτέρας δ’ ἄνοιξον εἰς τὴν ἀνδρωνῖτιν τὴν
block-up others but open into the men’s-quarters the
σεαυτοῦ φερούσας, εἰς τὴν γυναικωνῖτιν, εἰς τὰς τῶν
your-own leading into the women’s-quarters into the of-the
θεραπόντων διαίτας· ἐνταῦθ’ ἔχει διατριβὰς οὐκ ἀχρήστους
servants living-rooms here has pastimes not useless

οὐδὲ κακοήθεις ἀλλ' ὠφελίμους καὶ σωτηρίους τὸ φιλοπευθὲς
nor malicious but beneficial and saving the inquisitiveness
τοῦτο καὶ φιλόπραγμον, ἑκάστου πρὸς ἑαυτὸν λέγοντος
this and meddlesomeness of-each to himself saying

'πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;'
where did-I-transgress what and did-I-do what to-me needful not was-accomplished

2 νῦν δ' ὥσπερ ἐν τῷ μύθῳ τὴν Λάμιαν λέγουσιν οἴκοι μὲν
now but as in the myth — Lamia they-say at-home indeed
εὕδειν τυφλήν, ἐν ἀγγείῳ τινὶ τοὺς ὀφθαλμοὺς ἔχουσαν
to-sleep blind in vessel some the eyes having
ἀποκειμένους, ἔξω δὲ προϊοῦσαν ἐπιτίθεσθαι καὶ βλέπειν·
stored-away outside but going-forth to-put-them-on and to-see
οὕτως ἡμῶν ἕκαστος ἔξω καὶ πρὸς ἑτέρους τῇ κακονοίᾳ
so of-us each outside and toward others with-the malice
τὴν περιεργίαν ὥσπερ ὀφθαλμὸν ἐντίθησι· τοῖς δ' ἑαυτῶν
the curiosity as-if eye puts-in to-the but our-own
ἁμαρτήμασι καὶ κακοῖς πολλάκις περιπταίομεν ὑπ'
errors and evils often we-stumble through
ἀγνοίας, ὄψιν ἐπ' αὐτὰ καὶ φῶς οὐ πoριζόμενοι. διὸ καὶ
ignorance sight to them and light not providing therefore also
τοῖς ἐχθροῖς ὠφελιμώτερός ἐστιν ὁ πολυπράγμων· τὰ
to-the enemies more-useful is the busybody the-things
γὰρ ἐκείνων ἐλέγχει καὶ προφέρεται καὶ δείκνυσιν αὐτοῖς ἃ
for of-those he-exposes and brings-forward and shows to-them what
δεῖ φυλάξασθαι καὶ διορθῶσαι, τῶν δ' οἴκοι τὰ πλεῖστα
one-must to-guard-against and to-correct of-the but at-home the most
παρορᾷ διὰ τὴν περὶ τὰ ἔξω πτόησιν. ὁ μὲν γὰρ
he-overlooks because-of the about the-things outside excitement — indeed for
Ὀδυσσεὺς οὐδὲ τῇ μητρὶ διαλεχθῆναι πρότερον ὑπέμεινεν
Odysseus not-even with-the mother to-converse before endured

ἢ πυθέσθαι παρὰ τοῦ μάντεως, ὧν ἕνεκ' ἦλθεν
than to-inquire from the seer of-what for-the-sake he-had-come
εἰς Ἅιδου· πυθόμενος δὲ τοῦτο πρός τε ταύτην ἔτρεψεν
to Hades having-learned but this to both her turned
αὐτόν, καὶ τὰς ἄλλας γυναῖκας ἀνέκρινε, τίς ἡ Τυρὼ
himself and the other women questioned who — Tyro
καί τίς ἡ καλὴ Χλωρὶς καὶ διὰ τί Ἐπικάστη ἀπέθανεν
and who the fair Chloris and for what Epicaste died

'ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου.'
having-fastened noose steep from high roof

ἡμεῖς δὲ τὰ καθ' αὑτοὺς ἐν πολλῇ ῥᾳθυμίᾳ καὶ
we but the-things concerning ourselves in much indolence and
ἀγνοίᾳ θέμενοι καὶ ἀμελήσαντες ἑτέρους γενεαλογοῦμεν,
ignorance having-placed and having-neglected others we-trace-the-lineage-of
4 ὅσους δ᾽ ἀνήρηκε τοῦτο τὸ πάθος, οὐκ ἄν τις
how-many but has-destroyed this the passion not — one
ἐξαριθμήσαιτο ῥᾳδίως. καὶ γὰρ ὁ Κρέων πρὸς τὴν
could-count-up easily and for — Creon to —
Μήδειαν εἰπὼν
Medea having-said

‘κρεῖσσον δέ μοι νῦν πρός σ᾽ ἀπέχθεσθαι, γύναι,
better and for-me now to you to-be-hated woman
ἢ μαλθακισθέν᾽ ὕστερον μέγα στένειν᾽
than having-gone-soft later greatly to-groan

ἄλλοις ἐγνωμολόγησεν, αὐτὸς δὲ τῆς δυσωπίας ἥττων
to-others spoke-the-maxim himself but by-the compliance worsted
γενόμενος καὶ μίαν ἡμέραν αἰτουμένῃ δοὺς ἀπώλεσε τὸν
having-become and one day to-her-asking having-given destroyed the
οἶκον. ἔνιοι δὲ καὶ σφαγὰς ὑφορώμενοι καὶ φαρμακείας,
house some and also murders suspecting and poisonings
διετράπησαν. οὕτω παραπώλετο Δίων, οὐκ ἀγνοήσας
were-abashed so perished Dion not unaware-of
ἐπιβουλεύοντα Κάλλιππον ἀλλ' αἰσχυνθεὶς φυλάττεσθαι
plotting Callippus but having-been-ashamed to-guard-against
φίλον ὄντα καὶ ξένον. οὕτως Ἀντίπατρος ὁ Κασάνδρου
friend being and guest so Antipater the (son)-of-Cassander
Δημήτριον καλέσας ἐπὶ δεῖπνον εἶτα κληθεὶς τῇ
Demetrius having-invited to dinner then having-been-invited on-the
ὑστεραίᾳ πρὸς αὐτὸν ᾐδέσθη πεπιστευμένος ἀπιστεῖν,
next-day to him felt-ashamed having-been-trusted to-distrust
καὶ πορευθεὶς ἐσφάγη μετὰ τὸ δεῖπνον. Ἡρακλέα δὲ
and having-gone was-slaughtered after the dinner Heracles and
τὸν Ἀλεξάνδρῳ γενόμενον ἐκ Βαρσίνης ὡμολόγησε μὲν
the to-Alexander born of Barsine agreed indeed
Κασάνδρῳ Πολυσπέρχων ἀναιρήσειν ἐπὶ ταλάντοις ἑκατὸν
with-Cassander Polyperchon to-kill-him for talents hundred
εἶτ' ἐπὶ δεῖπνον ἐκάλει· τοῦ δὲ μειρακίου τὴν κλῆσιν
then to dinner he-invited the but youth the invitation
ὑφορωμένου καὶ δεδοικότος ἄλλως δὲ προφασιζομένου
suspecting and fearing otherwise but pretending
μαλακώτερον ἔχειν, ἐλθὼν ὁ Πολυσπέρχων 'πρῶτον'
rather-poorly to-be having-come — Polyperchon first
εἶπεν 'ὦ παῖ, μιμοῦ τοῦ πατρὸς τὸ εὔκολον καὶ φιλέταιρον,
he-said O boy imitate of-the father the good-nature and loyalty-to-friends
εἰ μὴ νὴ Δία δέδοικας ἡμᾶς ὡς ἐπιβουλεύοντας.' αἰδεσθεὶς
if not by Zeus you-fear us as plotting being-ashamed

οὖν ἠκολούθησεν ὁ νεανίσκος, οἱ δὲ δειπνίσαντες αὐτὸν
then followed the young-man they but having-given-dinner him
ἐστραγγάλισαν. οὐ γελοῖον οὖν, ὥς φασί τινες, οὐδ᾽
strangled not ridiculous then as say some nor
ἀβέλτερον ἀλλὰ σοφὸν τὸ τοῦ Ἡσιόδου
foolish but wise the — of-Hesiod

‘τὸν φιλέοντ᾽ ἐπὶ δαῖτα καλεῖν τὸν δ᾽ ἐχθρὸν ἐâσαι.’
the friend to feast to-invite the but enemy to-let-be

μὴ δυσωποῦ τὸν μισοῦντα μηδ᾽ ὑπαίκαλλε πιστεύειν
not be-abashed-before the hater nor fawn to-trust
δοκοῦντα· κληθήσῃ γὰρ καλέσας καὶ δειπνήσεις,
seeming you-will-be-invited for having-invited and you-will-dine
ἂν δειπνίσῃς, ὥσπερ βαφὴν τὴν φυλάττουσαν ἀπιστίαν
if you-give-dinner like temper the guarding distrust
μαλαχθεῖσαν αἰσχύνῃ προέμενος.
softened by-shame having-thrown-away
ὡς οὖν πολλῶν κακῶν αἴτιον τὸ νόσημα τοῦτ᾽ ὂν
as then of-many evils cause the disease this being
πειρατέον ἀποβιάζεσθαι τῇ ἀσκήσει, πρῶτον ἀρξαμένους
one-must-try to-force-out by-the practice first having-begun
ὥσπερ οἱ τἆλλα μελετῶντες ἀπὸ τῶν μικρῶν καὶ μὴ
as those other-things practicing from the small and not
σφόδρα δυσαντιβλέπτων· οἷον ἐν δείπνῳ προπίνει τις
very hard-to-face such-as at dinner pledges someone
ἅδην ἔχοντι· μὴ δυσωπηθῇς μηδὲ προσβιάσῃ σαυτόν,
enough to-(one)-having not be-out-faced nor force yourself
ἀλλὰ κατάθου τὸ ποτήριον. αὖθις ἕτερος παρακαλεῖ κυβεύειν
but put-down the cup again another invites to-dice
παρὰ πότον· μὴ δυσωπηθῇς μηδὲ δείσῃς σκωπτόμενος· ἀλλ᾽
over drink not be-out-faced nor fear being-mocked but

ὥσπερ Ξενοφάνης, Λάσου τοῦ Ἑρμιονέως μὴ βουλόμενον
as Xenophanes Lasus the of-Hermione not wishing
αὐτῷ συγκυβεύειν δειλὸν ἀποκαλοῦντος, ὡμολόγει καὶ
with-him to-dice coward calling admitted even
πάνυ δειλὸς εἶναι πρὸς τὰ αἰσχρὰ καὶ ἄτολμος. πάλιν
very coward to-be toward the shameful and unadventurous again
ἀδολέσχῳ συνήντηκας ἐπιλαμβανομένῳ καὶ περιπλεκομένῳ·
chatterer you-have-met catching-hold and embracing
μὴ δυσωπηθῇς ἀλλὰ διακόψας ἐπείγου καὶ πέραινε τὸ
not be-out-faced but having-cut-short hurry and accomplish the
προκείμενον. αἱ γὰρ τοιαῦται φυγαὶ καὶ διακρούσεις, ἐν
business-at-hand the for such escapes and evasions in
ἐλαφραῖς μέμψεσι τὴν μελέτην ἔχουσαι τοῦ ἀδυσωπήτου,
light reproaches the practice having of-the unabashed
προεθίζουσιν ἡμᾶς ἐπὶ τὰ μείζονα. καὶ τὸ τοῦ Δημοσθένους
accustom-beforehand us to the greater and the — of-Demosthenes
ἐνταῦθα καλῶς ἔχει διαμνημονεύειν· τῶν γὰρ Ἀθηναίων
here well it-is to-remember of-the for Athenians
ὡρμημένων Ἁρπάλῳ βοηθεῖν καὶ κορυσσομένων ἐπὶ τὸν
having-set-out Harpalus to-help and arming-themselves against —
Ἀλέξανδρον, ἐξαίφνης ἐπεφάνη Φιλόξενος ὁ τῶν ἐπὶ
Alexander suddenly appeared Philoxenus the of-the at
θαλάττῃ πραγμάτων Ἀλεξάνδρου στρατηγός. ἐκπλαγέντος
sea affairs of-Alexander general having-been-astounded
δὲ τοῦ δήμου καὶ σιωπῶντος διὰ τὸν φόβον, ὁ
and the people and silent through the fear —
Δημοσθένης ‘τί ποιήσουσιν’ ἔφη ‘τὸν ἥλιον ἰδόντες οἱ
Demosthenes what will-they-do he-said the sun having-seen who
μὴ δυνάμενοι πρὸς τὸν λύχνον ἀντιβλέπειν;’ τί γὰρ
not being-able toward the lamp to-look-back what for
ποιήσεις ἐν πράγμασι μεγάλοις, βασιλέως ἐντυγχάνοντος
will-you-do in affairs great king meeting

ἢ δήμου δυσωποῦντος, εἰ ποτήριον ἀπώσασθαι μὴ δύνασαι
or people pressing if cup to-push-away not you-can
προπίνοντος συνήθους μηδ' ἀδολέσχου λαβὴν διαφυγεῖν,
pledging intimate nor of-chatterer grip to-escape
ἀλλὰ παρέχεις ἐμπεριπατεῖν φλυάρῳ σαυτόν, οὐκ εὐτονῶν
but you-allow to-walk-about to-babbler yourself not strong-enough
εἰπεῖν 'ὄψομαί σ' αὖθις, νῦν δ' οὐ σχολάζω';
to-say I-will-see you again now but not I-have-leisure

II · PRACTICE IN REFUSING

Practice begins with not praising a bad singer at a friend's party, for a man who cannot keep silent there will praise a friend's foolish speech and join the flatterers; even Pericles' "a friend as far as the altar" came too near. Refuse small requests for money: Archelaus gave Euripides the cup another begged for, and Antigonus refused the Cynic both a drachma and a talent. Compliance chooses doctors, teachers, and advocates by acquaintance, and philosophers by a friend's school. It leaps from the smoke of disgrace into the fire; the cure is sayings at hand, like Phocion's to Antipater, and open contracts, like Persaeus'. Plato hedged even a decent man's letter of recommendation, and Xenocrates recommended a bad one; compliance repents at once, and Lysander sent petitioners to men with more sway over the king.

6 καὶ μὴν οὐδ' ἡ πρὸς τοὺς ἐπαίνους τοῦ ἀδυσωπήτου
and indeed not-even the toward the praises of-the unabashed
μελέτη καὶ ἄσκησις ἐν μικροῖς καὶ ἐλαφροῖς ἄχρηστός
practice and exercise in small and light-things useless
ἐστιν. οἷον ἐν συμποσίῳ φίλου κιθαρῳδὸς ᾄδει κακῶς ἢ
is as at drinking-party of-friend lyre-singer sings badly or
πολλοῦ κωμῳδὸς ἐωνημένος ἐπιτρίβει Μένανδρον, οἱ δὲ
for-much comedian bought murders Menander the but
πολλοὶ κροτοῦσι καὶ θαυμάζουσιν· οὐδὲν οἶμαι χαλεπὸν
many applaud and admire nothing I-think difficult

οὐδὲ δύσκολον ἀκούειν σιωπῇ καὶ μὴ παρὰ τὸ φαινόμενον
nor troublesome to-listen in-silence and not against the apparent
ἀνελευθέρως ἐπαινεῖν. ἐὰν γὰρ ἐν τούτοις μὴ κρατῇς σαυτοῦ,
servilely to-praise if for in these not you-master yourself
τί ποιήσεις φίλου ποίημα φαῦλον ἀναγιγνώσκοντος ἢ
what will-you-do friend poem bad reading or
λόγον ἐπιδεικνυμένου γεγραμμένον ἀβελτέρως καὶ γελοίως;
speech displaying written foolishly and ridiculously
ἐπαινέσεις δηλονότι καὶ συνεπιθορυβήσεις τοῖς κολακεύουσι.
you-will-praise clearly and you-will-join-in-the-uproar with-the flatterers
πῶς οὖν ἐν πράγμασιν ἁμαρτάνοντος ἐπιλήψῃ; πῶς
how then in affairs erring will-you-check how
δὲ περὶ ἀρχὴν ἢ γάμον ἢ πολιτείαν ἀγνωμονοῦντα
and about office or marriage or public-life acting-unwisely
νουθετήσεις; ἐγὼ μὲν γὰρ οὐδὲ τὸ τοῦ Περικλέους
will-you-admonish I indeed for not-even the — of-Pericles
ἀποδέχομαι, πρὸς τὸν ἀξιοῦντα μαρτυρίαν ψευδῆ
accept to the one-thinking-it-right testimony false
μαρτυρῆσαι φίλον, ᾗ προσῆν καὶ ὅρκος, εἰπόντος
to-bear friend in-which was-attached also oath having-said
‘μέχρι τοῦ βωμοῦ φίλος εἰμί·’ λίαν γὰρ ἐγγὺς ἦλθεν. ὁ δὲ
as-far-as the altar friend I-am too for near he-came the but
πόρρωθεν ἑαυτὸν ἐθίσας μήτε λέγοντος ἐπαινεῖν παρὰ
from-afar himself having-accustomed neither speaking to-praise against
γνώμην μήτε ᾄδοντος κροτεῖν μήτε σκώπτοντος ἀφυῶς
judgment nor singing to-applaud nor joking clumsily
ἐπιγελᾶν, οὐκ ἐάσει μέχρι τούτου προελθεῖν οὐδ’ εἰπεῖν
to-laugh-at not will-allow-him as-far-as this to-advance nor to-say
πρὸς τὸν ἐν ἐκείνοις ἀδυσώπητον ‘ὄμοσον ὑπὲρ ἐμοῦ καὶ
to the in those-things unabashed swear for me and
τὰ ψευδῆ μαρτύρησον καὶ ἀπόφηναι παρὰ τὸ δίκαιον.’
the false-things testify and give-a-verdict against the just

7 οὕτω δὲ δεῖ καὶ πρὸς τοὺς αἰτοῦντας ἀργύριον
so and one-must also against those asking money
ἀνταίρειν, προεθιζόμενον ἐν τοῖς μήτε μεγάλοις μήτε
to-stand-up being-accustomed-beforehand in the neither great nor
δυσπαραιτήτοις. Ἀρχέλαος μὲν γὰρ ὁ τῶν Μακεδόνων
hard-to-refuse Archelaus indeed for the of-the Macedonians
βασιλεὺς παρὰ δεῖπνον αἰτηθεὶς ἔκπωμα χρυσοῦν ὑπ᾽
king at dinner having-been-asked cup golden by
ἀνθρώπου μηδὲν ἡγουμένου καλὸν ἢ τὸ λαμβάνειν,
man nothing considering fine than the taking
ἐκέλευσεν Εὐριπίδῃ τὸν παῖδα δοῦναι, καὶ πρὸς τὸν ἄνθρωπον
bade to-Euripides the slave to-give and to the man
ἐκεῖνον ἀποβλέψας ‘σὺ μὲν’ εἶπεν ‘αἰτεῖν ἐπιτήδειος εἶ καὶ
that having-looked you indeed he-said to-ask fit are even
μὴ λαμβάνων, οὗτος δὲ λαμβάνειν καὶ μὴ αἰτῶν·’ ἄριστα
not receiving this-one but to-receive even not asking best
τοῦ διδόναι καὶ χαρίζεσθαι κύριον ποιῶν τὸ κρῖνον ἀλλὰ μὴ
of-the giving and gratifying master making the judging but not
τὸ δυσωπούμενον. ἡμεῖς δὲ πολλάκις ἀνθρώπους ἐπιεικεῖς
the being-out-faced we but often men decent
καὶ οἰκείους καὶ δεομένους περιορῶντες ἑτέροις αἰτοῦσιν
and relatives and needy overlooking to-others asking
ἐνδελεχῶς καὶ ἰταμῶς ἐδώκαμεν, οὐ δοῦναι θελήσαντες ἀλλ᾽
persistently and brazenly have-given not to-give having-wished but
ἀρνήσασθαι μὴ δυνηθέντες. ὥσπερ Ἀντίγονος ὁ γέρων ὑπὸ
to-refuse not having-been-able as Antigonus the old by
Βίαντος ἐνοχληθεὶς πολλάκις ‘δότ” εἶπε ‘Βίαντι τάλαντον
Bias pestered often give he-said to-Bias talent
καὶ ἀνάγκῃ·’ καίτοι μάλιστα τῶν βασιλέων ἐμμελὴς ἦν καὶ
and to-necessity and-yet most of-the kings tactful he-was and
πιθανὸς ἀποτρίβεσθαι τὰ τοιαῦτα. κυνικοῦ γάρ ποτε δραχμὴν
persuasive to-fend-off the such-things cynic for once drachma

αἰτήσαντος αὐτόν ‘ἀλλ’ οὐ βασιλικόν’ ἔφη ‘τὸ δόμα·’ τοῦ
having-asked him but not kingly he-said the gift the
δ’ ὑποτυχόντος ‘δὸς οὖν μοι τάλαντον’ ἀπήντησεν ‘ἀλλ’ οὐ
but having-retorted give then me talent he-answered but not
κυνικὸν τὸ λῆμμα.’ Διογένης μὲν οὖν τοὺς ἀνδριάντας ᾔτει
cynic-like the taking Diogenes indeed then the statues asked
περιὼν ἐν Κεραμεικῷ καὶ πρὸς τοὺς θαυμάζοντας ἔλεγεν
going-about in Ceramicus and to the wondering said
ἀποτυγχάνειν μελετᾶν· ἡμῖν δὲ πρῶτον ἐμμελετητέον ἐστὶ
to-be-refused to-practice for-us but first one-must-practice is
τοῖς φαύλοις καὶ γυμναστέον περὶ τὰ μικρά, πρὸς τὸ
in-the paltry and one-must-exercise about the small-things for the
ἀρνεῖσθαι τοῖς αἰτοῦσιν οὐ προσηκόντως ληψομένοις· ὡς
to-refuse to-those asking not fittingly going-to-receive so-that
ἂν μείζοσιν ἀποτεύξεσιν ἐπικουρεῖν ἔχωμεν. ‘οὐδεὶς γάρ’
— on-greater refusals to-defend-ourselves we-may-be-able no-one for
ὡς ὁ Δημοσθένης φησὶν ‘εἰς ἃ μὴ δεῖ καταναλώσας
as — Demosthenes says on what not one-must having-spent
τὰ παρόντα τῶν μὴ παρόντων εὐπορήσει πρὸς ἃ
the present-things of-the not present will-be-well-supplied for what
δεῖ.’ γίγνεται δ’ ἡμῖν πολλαπλάσιον τὸ αἰσχρόν, ὅταν
one-must becomes but for-us manifold the shameful when
ἐλλίπωμεν πρὸς τὰ καλά, πλεονάσαντες τοῖς περιττοῖς.
we-fall-short toward the fine having-been-lavish on-the superfluous
ἐπεὶ δ’ οὐ χρημάτων μόνον ἡ δυσωπία κακὴ καὶ 8
since but not of-money only the compliance bad and
ἀγνώμων οἰκονόμος ἐστίν, ἀλλὰ καὶ περὶ τὰ μείζονα
unfeeling steward is but also about the greater
παραιρεῖται τὸ συμφέρον τοῦ λογισμοῦ· καὶ γὰρ ἰατρὸν
it-takes-away the advantage from-the reasoning and for physician
νοσοῦντες οὐ παρακαλοῦμεν τὸν ἔμπειρον αἰσχυνόμενοι τὸν
being-ill not we-call-in the experienced being-ashamed-before the

συνήθη, καὶ παισὶ διδασκάλους ἀντὶ τῶν χρηστῶν τοὺς
familiar and for-children teachers instead-of the good the
παρακαλοῦντας αἱρούμεθα, καὶ δίκην ἔχοντες πολλάκις
entreating we-choose and lawsuit having often
οὐκ ἐῶμεν εἰπεῖν τὸν ὠφέλιμον καὶ ἀγοραῖον, ἀλλ'
not we-allow to-speak the useful and forensic but
οἰκείου τινὸς ἢ συγγενοῦς υἱῷ χαριζόμενοι παρεδώκαμεν
of-relative some or kinsman for-son gratifying we-have-handed-over
ἐμπανηγυρίσαι· τέλος δὲ πολλοὺς ἔστιν ἰδεῖν καὶ τῶν
to-show-off finally and many it-is-possible to-see even of-the
φιλοσοφεῖν λεγομένων, Ἐπικουρείους καὶ Στωικοὺς ὄντας,
to-philosophize said Epicureans and Stoics being
οὐχ ἑλομένους οὐδὲ κρίναντας ἀλλὰ προσθεμένους
not having-chosen nor having-judged but having-attached-themselves
δυσωποῦσιν οἰκείοις καὶ φίλοις· φέρε δὴ καὶ πρὸς ταῦτα
to-out-facing relatives and friends come indeed also for these-things
πόρρωθεν ἐν τοῖς ἐπιτυχοῦσι καὶ μικροῖς γυμνάζωμεν
from-afar in the chance and small-things let-us-exercise
ἑαυτούς, ἐθίζοντες μήτε κουρεῖ μήτε γναφεῖ κατὰ δυσωπίαν
ourselves accustoming neither barber nor fuller from compliance
χρῆσθαι μηδὲ καταλύειν ἐν φαύλῳ πανδοκείῳ, βελτίονος
to-use nor to-lodge in bad inn better
παρόντος, ὅτι πολλάκις ὁ πανδοκεὺς ἠσπάσαθ' ἡμᾶς· ἀλλ'
being-present because often the innkeeper greeted us but
ἔθους ἕνεκα, κἂν ᾖ παρὰ μικρόν, αἱρεῖσθαι τὸ βέλτιον·
of-habit for-the-sake even-if it-be by little to-choose the better
ὥσπερ οἱ Πυθαγορικοὶ παρεφύλαττον ἀεὶ μηδέποτε τῷ
as the Pythagoreans watched always never on-the
δεξιῷ μηρῷ τὸν εὐώνυμον ἐπιτιθέναι, μηδὲ τὸν ἄρτιον
right thigh the left to-place nor the even
ἀντὶ τοῦ περιττοῦ λαβεῖν, τῶν ἄλλων ἐπ' ἴσης
instead-of the odd to-take the others on equal-terms

ἐχόντων. ἐθιστέον δέ, καὶ θυσίαν ποιούμενον ἢ γάμον ἤ
being one-must-accustom and also sacrifice making or wedding or
τινα ἄλλην τοιαύτην ὑποδοχὴν μὴ τὸν ἀσπασάμενον καλεῖν
some other such reception not the one-who-greeted to-invite
ἢ προσδραμόντα μᾶλλον ἢ τὸν εὔνουν καὶ χρηστόν·
or one-who-ran-up rather than the well-disposed and good
ὁ γὰρ οὕτως ἐθισθεὶς καὶ ἀσκήσας δυσάλωτος
the for so having-been-accustomed and having-practiced hard-to-catch
ἔσται, μᾶλλον δ' ὅλως ἀνεπιχείρητος ἐν τοῖς μείζοσι.
will-be rather and altogether unassailable in the greater-things
περὶ μὲν οὖν ἀσκήσεως ἱκανὰ καὶ ταῦτα· τῶν δὲ χρησίμων 9
about indeed then practice sufficient also these-things of-the but useful
ἐπιλογισμῶν πρῶτός ἐστιν ὁ διδάσκων καὶ ὑπομιμνήσκων,
reflections first is the teaching and reminding
ὅτι πᾶσι μὲν τοῖς πάθεσιν ἀκολουθεῖ καὶ τοῖς νοσήμασιν ἃ
that all indeed the passions follow also the diseases what
φεύγειν δι' αὐτῶν δοκοῦμεν, ἀδοξίαι φιλοδοξίαις καὶ λῦπαι
to-flee through them we-think disgraces on-loves-of-glory and griefs
φιληδονίαις καὶ πόνοι μαλακίαις καὶ φιλονικίαις ἥττωνται καὶ
on-loves-of-pleasure and toils on-softnesses and on-contentiousness defeats and
καταδίκαι· τῇ δὲ δυσωπίᾳ συμβέβηκεν ἀτεχνῶς φευγούσῃ
condemnations to-the but compliance it-has-happened simply fleeing
καπνὸν ἀδοξίας εἰς πῦρ ἐμβάλλειν ἑαυτήν. αἰσχυνόμενοι
smoke of-disgrace into fire to-throw itself being-ashamed
γὰρ ἀντιλέγειν τοῖς ἀγνωμόνως δυσωποῦσιν ὕστερον
for to-gainsay those unfeelingly out-facing later
δυσωποῦνται τοὺς δικαίως ἐγκαλοῦντας, καὶ δεδιότες μέμψιν
they-are-out-faced-by those justly accusing and fearing blame
ἐλαφρὰν πολλάκις αἰσχύνην ὁμολογουμένην ὑπομένουσι.
light often shame acknowledged they-endure
καὶ γὰρ αἰτοῦντος ἀργύριον φίλου δυσωπηθέντες ἀντειπεῖν
and for asking money friend abashed to-gainsay

οὐκ ἔχοντες, ἀσχημονοῦσι μετ᾽ ὀλίγον ἐξελεγχόμενοι· καὶ
not having they-disgrace-themselves after little being-exposed and
βοηθήσειν ὁμολογήσαντες ἐνίοις δίκην ἔχουσιν, εἶτα τοὺς
to-help having-promised some lawsuit having then the
ἑτέρους διατραπέντες ἀποκρύπτονται καὶ δραπετεύουσι.
others abashed they-hide and run-away
πολλοὺς δὲ καὶ περὶ γάμου θυγατρὸς ἢ ἀδελφῆς εἰς
many and also about marriage of-daughter or sister into
ὁμολογίαν ἀλυσιτελῆ κατακλείσασα δυσωπία ψεύδεσθαι
agreement unprofitable having-shut-in compliance to-lie
πάλιν ἀναγκάζει μετατιθεμένους.
again compels changing
10 ὁ μὲν γὰρ εἰπών, ὅτι πάντες οἱ τὴν Ἀσίαν κατοικοῦντες
the indeed for having-said that all those — Asia inhabiting
ἑνὶ δουλεύουσιν ἀνθρώπῳ διὰ τὸ μὴ δύνασθαι μίαν εἰπεῖν
to-one are-slaves man through the not to-be-able one to-say
τὴν ‘οὐ’ συλλαβήν, οὐκ ἐσπούδασεν ἀλλ᾽ ἔσκωψε· τοῖς δὲ
the no syllable not was-in-earnest but joked for-the but
δυσωπουμένοις, κἂν μηδὲν εἴπωσιν, ἔξεστιν ὀφρῦν ἐπάρασι
compliant even-if nothing they-say it-is-possible brow having-raised
μόνον ἢ κάτω κύψασι πολλὰς ἀβουλήτους καὶ ἀτόπους
only or down having-stooped many unwished and absurd
ὑπουργίας διαφυγεῖν. ‘τὴν γὰρ σιωπὴν’ ὁ μὲν Εὐριπίδης
services to-escape the for silence — indeed Euripides
φησὶ ‘τοῖς σοφοῖς ἀπόκρισιν’ εἶναι· κινδυνεύομεν δὲ μᾶλλον
says to-the wise answer to-be we-run-the-risk but more
αὐτῆς δεῖσθαι πρὸς τοὺς ἀγνώμονας· ἐπεὶ τοὺς χαρίεντας
it to-need toward the unfeeling since the refined
ἔστι καὶ παρηγορῆσαι· καὶ πρόχειρά γε δεῖ καὶ
it-is-possible also to-appease and at-hand at-least one-must also
συχνὰ τῶν ἐπιφανῶν καὶ ἀγαθῶν ἀνδρῶν ἔχειν ἀποφθέγματα
many of-the eminent and good men to-have sayings

καὶ μνημονεύειν πρὸς τοὺς δυσωποῦντας· οἷον τὸ Φωκίωνος
and to-remember toward those out-facing such-as the of-Phocion
πρὸς Ἀντίπατρον ‘οὐ δύνασαί μοι καὶ φίλῳ χρῆσθαι καὶ
to Antipater not you-can me both as-friend to-use and
κόλακι.’ καὶ πρὸς τοὺς Ἀθηναίους ἐπιδοῦναι κελεύοντας
as-flatterer and to the Athenians to-contribute bidding
αὐτὸν ἐν ἑορτῇ καὶ κροτοῦντας ‘αἰσχύνομαι’ εἶπεν ‘ὑμῖν μὲν
him at festival and applauding I-am-ashamed he-said to-you indeed
ἐπιδιδοὺς τούτῳ δὲ μὴ ἀποδιδούς’ Καλλικλέα δείξας τὸν
contributing to-this but not repaying Callicles having-pointed-to the
δανειστήν· ‘πενίαν γὰρ οὐχ ὁμολογεῖν αἰσχρὸν’ ὡς Θουκυδίδης
lender poverty for not to-admit shameful as Thucydides
φησὶν ‘ἀλλ’ ἔργῳ μὴ διαφεύγειν αἴσχιον.’ ὁ δ’ ἀβελτερίᾳ
says but in-deed not to-escape more-shameful the but by-foolishness
καὶ μαλακίᾳ πρὸς τὸν αἰτοῦντα δυσωπούμενος εἰπεῖν
and softness toward the asker being-out-faced to-say

‘οὐκ ἔστ’ ἐν ἄντροις λευκός, ὦ ξέν’, ἄργυρος·’
not there-is in caves white O stranger silver

εἶθ’ ὥσπερ ἐνέχυρον προέμενος τὴν ἐπαγγελίαν,
then as pledge having-given-up the promise

‘αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις.’
of-shame with-unforged is-yoked fetters

ὁ δὲ Περσαῖος ἀργύριόν τινι τῶν γνωρίμων δανείζων
— but Persaeus money to-some of-the acquaintances lending
δι’ ἀγορᾶς καὶ τραπέζης ἐποιεῖτο τὸ συμβόλαιον
through market-place and bank made the contract
μεμνημένος δηλονότι τοῦ Ἡσιόδου λέγοντος
remembering clearly — Hesiod saying

‘καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.’
even and with-brother laughing upon witness to-put

θαυμάσαντος δ’ ἐκείνου καὶ εἰπόντος ‘οὕτως, ὦ Περσαῖε,
having-wondered and he and having-said so O Persaeus
νομικῶς;’ ‘ναί’ εἶπεν ‘ἵνα φιλικῶς ἀπολάβω καὶ μὴ νομικῶς
legally yes he-said so-that amicably I-may-get-it-back and not legally
ἀπαιτήσω.’ πολλοὶ γὰρ ἐν ἀρχῇ διὰ δυσωπίαν προέμενοι
I-may-demand many for at beginning through compliance having-given-up
τὸ πιστόν, ὕστερον ἐχρήσαντο τοῖς νομίμοις μετ’ ἔχθρας.
the security later used the legal-means with hatred
11 πάλιν ὁ Πλάτων Ἑλίκωνι τῷ Κυζικηνῷ διδοὺς πρὸς
again — Plato to-Helicon the of-Cyzicus giving to
Διονύσιον ἐπιστολὴν ἐπῄνεσεν αὐτὸν ὡς ἐπιεικῆ καὶ
Dionysius letter praised him as decent and
μέτριον, εἶτα προσέγραψε τῇ ἐπιστολῇ τελευτώσῃ ‘γράφω
moderate then added to-the letter ending I-write
δέ σοι ταῦτα περὶ ἀνθρώπου, ζῴου φύσει εὐμεταβόλου.’
and to-you these-things about man animal by-nature changeable
Ξενοκράτης δὲ καίπερ αὐστηρὸς ὢν τὸν τρόπον ὅμως
Xenocrates and although austere being in-the character nevertheless
ὑπὸ δυσωπίας ἐκάμφθη, καὶ συνέστησε Πολυσπέρχοντι
by compliance was-bent and introduced to-Polyperchon
δι’ ἐπιστολῆς ἄνθρωπον οὐ χρηστόν, ὡς τὸ ἔργον ἔδειξε·
by letter man not good as the deed showed
δεξιωσαμένου δ’ αὐτὸν τοῦ Μακεδόνος καὶ πυθομένου μή
having-welcomed and him the Macedonian and having-asked whether
τινος ἔχοι χρείαν, ᾔτησε τάλαντον· ὁ δ’ ἐκείνῳ μὲν
of-anything he-had need he-asked-for talent he and to-him indeed
ἔδωκε Ξενοκράτει δ’ ἔγραψε, παραινῶν ἐπιμελέστερον τὸ
gave to-Xenocrates but wrote advising more-carefully the

λοιπὸν ἐξετάζειν οὓς συνίστησιν. ὁ μὲν οὖν Ξενοκράτης
in-future to-examine whom he-recommends — indeed then Xenocrates
ἠγνόησεν, ἡμεῖς δὲ καὶ πάνυ πολλάκις ἐπιστάμενοι
was-ignorant we but even very often knowing
τοὺς πονηροὺς καὶ γράμματα καὶ χρήματα προϊέμεθα,
the wicked both letters and money give-away
βλάπτοντες ἑαυτούς, οὐ μεθ' ἡδονῆς ὥσπερ οἱ ταῖς
harming ourselves not with pleasure as those the
ἑταίραις χαριζόμενοι καὶ τοῖς κόλαξιν, ἀλλὰ δυσχεραίνοντες
courtesans gratifying and the flatterers but being-annoyed
καὶ βαρυνόμενοι τὴν ἀναίδειαν ἀνατρέπουσαν ἡμῶν καὶ
and burdened-by the shamelessness overturning our and
καταβιαζομένην τὸν λογισμόν. εἰ γὰρ πρὸς ἄλλο τι
overpowering the reasoning if for toward other anything
καὶ πρὸς τοὺς δυσωποῦντας ἔξεστιν εἰπεῖν τὸ
also toward those out-facing it-is-possible to-say the

'μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά'
I-understand indeed what to-do I-am-about evils

τὰ ψευδῆ μαρτυρῶν ἢ τὰ μὴ δίκαια κρίνων ἢ τὰ
the false-things testifying or the not just judging or the
μὴ συμφέροντα χειροτονῶν ἢ δανειζόμενος ὑπὲρ τοῦ μὴ
not advantageous voting or borrowing for the not
ἀποδώσοντος.
going-to-repay
διὸ τῶν παθῶν μάλιστα τῷ δυσωπεῖσθαι τὸ μετανοεῖν 12
therefore of-the passions most to-the being-out-faced the repenting
οὐχ ὕστερον, ἀλλ' εὐθὺς ἐν οἷς πράττει πάρεστι· καὶ
not later but at-once in what it-does is-present and
γὰρ διδόντες ἀχθόμεθα καὶ μαρτυροῦντες αἰσχυνόμεθα καὶ
for giving we-are-vexed and testifying we-are-ashamed and

συνηγοροῦντες ἀδοξοῦμεν καὶ μὴ παρέχοντες ἐλεγχόμεθα.
pleading-together we-lose-repute and not providing we-are-exposed
πολλὰ γὰρ ὑπ᾽ ἀσθενείας τοῦ ἀντιλέγειν καὶ τῶν
many for through weakness of-the gainsaying even of-the
ἀδυνάτων ἡμῖν ὑπισχνούμεθα τοῖς λιπαροῦσιν ὡς
impossible-things for-us we-promise to-those importuning as
συστάσεις ἐν αὐλαῖς καὶ πρὸς ἡγεμόνας ἐντεύξεις, μὴ
recommendations at courts and with rulers interviews not
βουλόμενοι μηδ᾽ εὐτονοῦντες εἰπεῖν ‘οὐκ οἶδεν ἡμᾶς ὁ
wishing nor strong-enough to-say not knows us the
βασιλεύς, ἀλλ᾽ ἑτέρους ὅρα μᾶλλον,’ ὡς Λύσανδρος
king but others see rather as Lysander
Ἀγησιλάῳ προσκεκρουκὼς ἀξιούμενος δὲ μέγιστον δύνασθαι
with-Agesilaus having-fallen-out being-thought but greatest to-be-able
παρ᾽ αὐτῷ διὰ τὴν δόξαν, οὐκ ᾐσχύνετο παραιτεῖσθαι
with him through the reputation not was-ashamed to-decline
τοὺς ἐντυγχάνοντας, ἀπιέναι πρὸς ἑτέρους κελεύων
those applying to-go-away to others bidding
καὶ πειρᾶσθαι τῶν μᾶλλον αὐτοῦ παρὰ τῷ βασιλεῖ
and to-try those more than-himself with the king
δυναμένων. οὐ γὰρ αἰσχρὸν τὸ μὴ πάντα δύνασθαι· τὸ δὲ
able not for shameful the not all-things to-be-able the but
μὴ δυναμένους ἢ μὴ πεφυκότας ἀναδέχεσθαι τὰ τοιαῦτα καὶ
not being-able or not being-fitted to-undertake the such-things and
παραβιάζεσθαι, πρὸς τῷ αἰσχρῷ καὶ λυπηρότατόν ἐστιν.
to-force-one's-way besides the shameful also most-painful is

Fair requests should be granted gladly, and Zeno's question kept at hand: if the unjust man is neither afraid nor ashamed, why do you not dare to withstand him for the sake of justice? The humble are put off with a jest, as Theocritus put off two men asking to borrow a scraper; the powerful by firmness, as Cato faced down Catulus, and Agesilaus and Themistocles refused unlawful favors. Ask the great man who would never solecize in speech whether a solecism is more shameful than breaking the law; the greedy and the ambitious are unbending in their vices, and so we should be in our virtues. Praise from those who would out-face us is counterfeit, as Menedemus said he always blamed Alexinus, who praised him. Above all, the compliant should remember the sting of each failure, as travelers remember the stone they stumbled on.

ἀπ᾽ ἄλλης δ᾽ ἀρχῆς· τὰ μὲν μέτρια καὶ πρέποντα δεῖ 13
from another but beginning the indeed moderate and fitting-things one-must
προθύμως ὑπουργεῖν τοῖς ἀξιοῦσι, μὴ δυσωπουμένους ἀλλ᾽
eagerly to-serve to-those asking not being-out-faced but
ἑκόντας· ἐν δὲ τοῖς βλαβεροῖς καὶ ἀτόποις τὸ τοῦ Ζήνωνος
willing in but the harmful and absurd the — of-Zeno
ἀεὶ πρόχειρον ἔχειν, ὃς ἀπαντήσας τινὶ νεανίσκῳ τῶν
always at-hand to-have who having-met some young-man of-the
συνήθων παρὰ τὸ τεῖχος ἡσυχῇ βαδίζοντι, καὶ πυθόμενος
acquaintances by the wall quietly walking and having-learned
ὅτι φεύγει φίλον ἀξιοῦντα μαρτυρεῖν αὐτῷ τὰ ψευδῆ ‘τί
that he-flees friend asking to-testify for-him the false-things what
λέγεις’ φησὶν ‘ἀβέλτερε; σὲ μὲν ἐκεῖνος ἀγνωμονῶν καὶ
do-you-say he-says fool you indeed that-one acting-unfeelingly and
ἀδικῶν οὐ δέδιεν οὐδ᾽ αἰσχύνεται, σὺ δ᾽ ἐκεῖνον ὑπὲρ
doing-wrong not fears nor is-ashamed you but him for
τῶν δικαίων οὐ θαρρεῖς ὑποστῆναι;’ ὁ μὲν γὰρ εἰπὼν
the just not dare to-withstand the indeed for having-said

‘ποτὶ πονηρὸν οὐκ ἄχρηστον ὅπλον ἁ πονηρία’
against wicked not useless weapon the wickedness

κακῶς ἐθίζει μιμούμενον ἀμύνεσθαι τὴν κακίαν· τὸ δὲ
badly accustoms imitating to-repel the vice the but
τοὺς ἀναιδῶς καὶ ἀδυσωπήτως ἐνοχλοῦντας ἀποτρίβεσθαι
those shamelessly and unabashedly pestering to-fend-off
τῷ ἀδυσωπήτῳ καὶ μὴ χαρίζεσθαι τὰ αἰσχρὰ τοῖς
by-the unabashed and not to-grant the shameful-things to-the
ἀναισχύντοις αἰσχυνόμενον, ὀρθῶς καὶ δικαίως γιγνόμενόν
shameless being-ashamed rightly and justly done
ἐστιν ὑπὸ τῶν νοῦν ἐχόντων.
is by those sense having

14 ἔτι τοίνυν τῶν δυσωπούντων τοῖς μὲν ἀδόξοις καὶ
further then of-the out-facers the indeed obscure and
ταπεινοῖς καὶ μηδενὸς ἀξίοις οὐ μέγ’ ἔργον ἀντισχεῖν, ἀλλὰ
humble and of-nothing worthy not great task to-resist but
καὶ μετὰ γέλωτος ἔνιοι καὶ σκώμματος ἐκκλίνουσι τοὺς
even with laughter some and jest turn-aside the
τοιούτους· ὡς Θεόκριτος, δυεῖν παρ’ αὐτοῦ ἐν βαλανείῳ
such as Theocritus two from him in bath
στλεγγίδα κιχραμένων, τοῦ μὲν ξένου τοῦ δὲ γνωρίμου
scraper asking-to-borrow the(-one) indeed stranger the(-other) and known
κλέπτου, μετὰ παιδιᾶς ἀμφοτέρους διεκρούσατ’ εἰπών ‘σὲ
thief with play both put-off having-said you
μὲν οὐκ οἶδα σὲ δ’ οἶδα.’ Λυσιμάχη δ’ Ἀθήνησιν, ἡ τῆς
indeed not I-know you but I-know Lysimache and at-Athens the —
Πολιάδος ἱέρεια, τῶν τὰ ἱερὰ προσαγαγόντων ὀρεωκόμων
of-Polias priestess of-the the sacrifices having-brought muleteers
ἐγχέαι κελευόντων, ‘ἀλλ’ ὀκνῶ’ εἶπε ‘μὴ καὶ τοῦτο
to-pour bidding but I-hesitate she-said lest also this

πάτριον γένηται.' καὶ Ἀντίγονος πρός τινα νεανίσκον,
ancestral-custom may-become and Antigonus to some young-man
γεγονότα μὲν ἐκ λοχαγοῦ χαρίεντος αὐτὸν δ' ἄτολμον
born indeed of captain graceful himself but unadventurous
ὄντα καὶ μαλακὸν ἀξιοῦντα δὲ προαχθῆναι, 'παρ' ἐμοί' φησὶν
being and soft thinking-fit but to-be-promoted with me he-says
'ὦ μειράκιον, ἀνδραγαθίας εἰσὶν οὐ πατραγαθίας τιμαί.'
O youth of-bravery are not of-father's-bravery honors
καὶ μὴν ἐάνπερ ὁ δυσωπῶν ἔνδοξος ᾖ καὶ δυνατὸς 15
and indeed if-indeed the out-facer reputable may-be and powerful
(οἷ δὴ μάλιστα δυσπαραίτητοι καὶ δυσαπότριπτοι περὶ
who indeed most hard-to-refuse and hard-to-shake-off about
τὰς κρίσεις καὶ τὰς χειροτονίας ἐντυγχάνοντές εἰσιν),
the judgments and the elections applying are
ὃ μὲν ἔπραξεν ὁ Κάτων νέος ὢν ἔτι πρὸς Κάτλον,
what indeed did — Cato young being still against Catulus
οὐκ ἄν τινι φανείη ῥᾴδιον ἴσως οὐδ' ἀναγκαῖον.
not — to-anyone would-appear easy perhaps nor necessary
ὁ γὰρ Κάτλος ἦν μὲν ἐν ἀξιώματι τῶν Ῥωμαίων
— for Catulus was indeed in rank of-the Romans
μεγίστῳ καὶ τότε τὴν τιμητικὴν ἀρχὴν εἶχεν· ἀνέβη δὲ
greatest and then the censorial office held went-up and
πρὸς τὸν Κάτωνα τεταγμένον ἐπὶ τοῦ δημοσίου ταμιείου
to — Cato appointed over the public treasury
παραιτησόμενός τινα τῶν ἐζημιωμένων ὑπ' αὐτοῦ, καὶ
to-beg-off one of-those fined by him and
λιπαρὴς ἐγίγνετο ταῖς δεήσεσι προσβιαζόμενος· ἄχρι οὗ
importunate became with-the entreaties pressing until —
δυσανασχετήσας ἐκεῖνος 'αἰσχρόν ἐστιν' ἔφη 'Κάτλε, σὲ
having-lost-patience he shameful it-is he-said Catulus you
τὸν τιμητὴν ἀπαλλαγῆναι μὴ βουλόμενον ἐντεῦθεν ὑπὸ τῶν
the censor to-be-removed not wishing hence by the

ἐμῶν ὑπηρετῶν ἕλκεσθαι·' καὶ ὁ Κάτλος αἰσχυνθείς,
my attendants to-be-dragged and — Catulus having-been-ashamed
πρὸς ὀργὴν ἀπῆλθε. σκόπει δὲ μὴ τὸ τοῦ Ἀγησιλάου καὶ
in anger went-away consider but whether the — of-Agesilaus and
τὸ τοῦ Θεμιστοκλέους ἐπιεικέστερόν ἐστι, καὶ μετριώτερον.
the — of-Themistocles more-reasonable is and more-moderate
ὁ μὲν γὰρ Ἀγησίλαος ὑπὸ τοῦ πατρὸς κελευόμενος κρῖναί
— indeed for Agesilaus by the father being-bidden to-judge
τινα δίκην παρὰ τὸν νόμον, 'ἀλλ' ὑπὸ σοῦ' ἔφη 'πάτερ,
some case against the law but by you be-said father
πείθεσθαι τοῖς νόμοις ἐδιδασκόμην ἀπ' ἀρχῆς· διὸ καὶ νῦν
to-obey the laws I-was-taught from beginning therefore also now
σοι πείθομαι μηδὲν ποιεῖν παράνομον.' ὁ δὲ Θεμιστοκλῆς
to-you I-obey nothing to-do unlawful — but Themistocles
πρὸς τὸν Σιμωνίδην ἀξιοῦντά τι τῶν μὴ δικαίων
to — Simonides asking something of-the not just
'οὔτ' ἂν σὺ ποιητὴς ἀγαθὸς εἶης' ἔφη 'παρὰ μέλος
neither — you poet good would-be he-said against melody
ᾄδων, οὔτ' ἂν ἐγὼ χρηστὸς ἄρχων παρὰ νόμον κρίνων.'
singing nor — I good magistrate against law judging
16 καίτοι οὐ διὰ τὴν τοῦ ποδὸς πρὸς τὴν λύραν ἀμετρίαν,
and-yet not through the of-the foot with the lyre disproportion
ὡς Πλάτων ἔλεγε, καὶ πόλεις πόλεσι καὶ φίλοι φίλοις
as Plato said both cities with-cities and friends with-friends
διαφερόμενοι τὰ κάκιστα δρῶσί τε καὶ πάσχουσιν ἀλλὰ
differing the worst-things do both and suffer but
διὰ τὴν περὶ τὰ νόμιμα καὶ δίκαια πλημμέλειαν. ἀλλ'
through the about the lawful-things and just discord but
ὅμως ἔνιοι τὴν ἐν μέλεσι καὶ γράμμασι καὶ μέτροις
nevertheless some the in songs and letters and meters
ἀκρίβειαν αὐτοὶ φυλάττοντες ἑτέρους ἐν ἀρχαῖς καὶ κρίσεσι
precision themselves guarding others in offices and judgments

καὶ πράξεσιν ἀξιοῦσιν ὀλιγωρεῖν τοῦ καλῶς ἔχοντος. διὸ
and actions think-fit to-neglect the well being therefore
καὶ τούτῳ μάλιστα χρηστέον πρὸς αὐτούς. ἐντυγχάνει σοι
also this most one-must-use against them applies-to you
δικάζοντι ῥήτωρ ἢ βουλεύοντι δημαγωγός· ὁμολόγησον, ἐὰν
judging orator or deliberating demagogue agree if
ἐκεῖνος σολοικίσῃ προοιμιαζόμενος ἢ βαρβαρίσῃ διηγούμενος·
he solecize in-his-preface or barbarize narrating
οὐ γὰρ ἐθελήσει διὰ τὸ φαινόμενον αἰσχρόν· ἐνίους
not for he-will-be-willing because-of the apparent shameful some
γοῦν ὁρῶμεν οὐδὲ φωνήεντι συγκροῦσαι φωνῆεν ἐν
at-any-rate we-see not-even vowel to-clash-with vowel in
τῷ λέγειν ὑπομένοντας. ἕτερον πάλιν δυσωποῦντα τῶν
the speaking enduring another again out-facing of-the
ἐπιφανῶν καὶ ἐνδόξων κέλευσον ὀρχούμενον δι' ἀγορᾶς
eminent and reputable bid dancing through market-place
ἐξελθεῖν ἢ διαστρέψαντα τὸ πρόσωπον· ἐὰν δ' ἀρνῆται,
to-go-out or having-twisted the face if but he-refuses
σός ἐστιν ὁ καιρὸς εἰπεῖν καὶ πυθέσθαι, τί αἴσχιόν
your is the moment to-say and to-ask what more-shameful
ἐστι τὸ σολοικίσαι καὶ διαστρέψαι τὸ πρόσωπον ἢ τὸ
is the to-solecize and to-twist the face or the
λῦσαι τὸν νόμον καὶ παραβῆναι τὸν ὅρκον καὶ πλέον
to-dissolve the law and to-transgress the oath and more
νεῖμαι τῷ πονηρῷ τοῦ ἀγαθοῦ παρὰ τὸ δίκαιον.
to-assign to-the wicked than-the good against the just
ἔτι τοίνυν, ὥσπερ Νικόστρατος ὁ Ἀργεῖος, Ἀρχιδάμου
further then as Nicostratus the Argive Archidamus
παρακαλοῦντος αὐτὸν ἐπὶ χρήμασι πολλοῖς καὶ γάμῳ
urging him for money much and marriage
γυναικὸς ἧς βούλεται Λακαίνης προδοῦναι Κρῶμνον, οὐκ
of-woman whom he-wishes Laconian to-betray Cromnus not

ἔφη γεγονέναι τὸν Ἀρχίδαμον ἀφ' Ἡρακλέους· ἐκεῖνον
said to-be-descended — Archidamus from Heracles that-one
μὲν γὰρ ἀποκτιννύναι περιόντα τοὺς πονηρούς, τοῦτον
indeed for to-kill going-around the wicked this-one
δὲ τοὺς χρηστοὺς ποιεῖν πονηρούς· οὕτω καὶ ἡμῖν πρὸς
but the good to-make wicked so also for-us to
ἄνθρωπον ἀξιοῦντα καλὸν κἀγαθὸν λέγεσθαι ῥητέον, ἂν
man thinking-fit noble and-good to-be-called one-must-say if
βιάζηται καὶ δυσωπῇ, μὴ πρέποντα ποιεῖν μηδ' ἄξια τῆς
be-forces and out-faces not fitting-things to-do nor worthy of-the
περὶ αὐτὸν εὐγενείας τε καὶ ἀρετῆς.
about him nobility both and virtue

17 ἐπὶ δὲ τῶν φαύλων ὁρᾶν χρὴ καὶ διανοεῖσθαι, τὸν
in-the-case but of-the base-ones to-look one-must and to-consider the
φιλάργυρον εἰ δυσωπήσεις ἄνευ συμβολαίου δανεῖσαι
money-lover whether you-will-out-face without contract to-lend
τάλαντον ἢ τὸν φιλότιμον ἐκστῆναι τῆς προεδρίας, ἢ
talent or the ambitious-man to-stand-aside from-the front-seat or
τὸν φίλαρχον τῆς παραγγελίας ἐπίδοξον ὄντα κρατήσειν.
the office-lover from-the candidacy likely being to-win
δεινὸν γὰρ ἂν ἀληθῶς φανείη τούτους μὲν ἐν νοσήμασι
terrible for — truly would-appear these indeed in diseases
καὶ παθήμασιν ἀκάμπτους διαμένειν καὶ ἐχυροὺς καὶ
and passions unbending to-remain and firm and
δυσμεταθέτους, ἡμᾶς δὲ βουλομένους καὶ φάσκοντας
hard-to-shift us but wishing and claiming
εἶναι φιλοκάλους καὶ φιλοδικαίους μὴ κρατεῖν ἑαυτῶν
to-be lovers-of-the-noble and lovers-of-justice not to-master ourselves
ἀλλ' ἀνατρέπεσθαι καὶ προΐεσθαι τὴν ἀρετήν. καὶ γάρ,
but to-be-overturned and to-give-up the virtue and for
εἰ μὲν οἱ δυσωποῦντες ἐπὶ δόξῃ καὶ δυνάμει τοῦτο
if indeed the out-facers for reputation and power this

ποιοῦσιν ἄτοπόν ἐστι κοσμοῦντας ἑτέρους καὶ αὔξοντας
do absurd it-is adorning others and increasing
ἀσχημονεῖν αὐτοὺς καὶ κακῶς ἀκούειν· ὥσπερ οἱ
to-behave-disgracefully themselves and badly to-hear as those
παραβραβεύοντες ἐν τοῖς ἀγῶσι καὶ χαριζόμενοι περὶ τὰς
umpiring-unfairly in the contests and showing-favor about the
χειροτονίας, ἐξ οὐ προσηκόντων ἀρχεῖα καὶ στεφάνους
elections from not fitting magistracies and crowns
ἄλλοις διδόντες καὶ δόξαν, ἀφαιροῦνται τὸ ἔνδοξον αὑτῶν
to-others giving even reputation they-take-away the reputable their-own
καὶ τὸ καλόν· εἰ δὲ χρημάτων ἕνεκα προσκείμενον
and the honorable if but of-money for-the-sake pressing
ὁρῶμεν τὸν δυσωποῦντα, πῶς οὐ παρίσταται δεινὸν εἶναι
we-see the out-facer how not does-it-occur terrible to-be
τὸ τῆς ἰδίας δόξης καὶ ἀρετῆς ἀφειδεῖν, ἵνα τὸ τοῦ
the of-the own reputation and virtue to-be-unsparing so-that the of-the
δεῖνος βαλλάντιον βαρύτερον γένηται; καίτοι παρίσταταί
so-and-so purse heavier may-become and-yet it-occurs
γε τοῖς πολλοῖς τὰ τοιαῦτα καὶ οὐ λανθάνουσιν ἑαυτοὺς
at-least to-the many the such-things and not escape-notice themselves
ἐξαμαρτάνοντες· ὥσπερ οἱ τὰς μεγάλας κύλικας ἐκπιεῖν
erring as those the great cups to-drink-off
ἀναγκαζόμενοι, μόλις καὶ στένοντες καὶ τὰ πρόσωπα
being-compelled hardly and groaning and the faces
διαστρέφοντες ἐκτελοῦσι τὸ προσταττόμενον.
twisting accomplish the being-commanded
ἀλλ' ἔοικεν ἡ τῆς ψυχῆς ἀτονία σώματος κράσει καὶ πρὸς 18
but it-seems the of-the soul weakness of-body to-temperament both to
ἀλέαν κακῶς πεφυκυίᾳ καὶ πρὸς κρύος· ἐπαινούμενοί τε γὰρ
heat badly disposed and to cold being-praised both for
ὑπὸ τῶν δυσωπούντων παντάπασι θρύπτονται καὶ χαλῶνται,
by the out-facers altogether they-are-softened and are-relaxed

πρός τε τὰς μέμψεις καὶ ὑφοράσεις τῶν ἀποτυγχανόντων
toward both the reproaches and suspicions of-those failing
ψοφοδεῶς καὶ δειλῶς ἔχουσι. δεῖ δ' ἀντισχυρίζεσθαι πρὸς
timidly and cowardly they-are one-must but to-hold-firm against
ἀμφότερα, μήτε τοῖς δεδιττομένοις μήτε τοῖς κολακεύουσιν
both neither to-those frightening nor to-those flattering
ἐνδιδόντας. ὁ μὲν οὖν Θουκυδίδης, ὡς ἀναγκαίως ἑπομένου
giving-in — indeed then Thucydides as necessarily following
τῷ δύνασθαι τοῦ φθονεῖσθαι, 'καλῶς' φησὶ 'βουλεύεσθαι
on-the being-able the being-envied well he-says to-counsel
τὸν ἐπὶ μεγίστοις λαμβάνοντα τὸ ἐπίφθονον·' ἡμεῖς δὲ
the(-one) for greatest-things taking-on the odium we but
τὸν μὲν φθόνον διαφεύγειν οὐ χαλεπὸν ἡγούμενοι, τὸ
the indeed envy to-escape not difficult considering the
δὲ μέμψει μὴ περιπεσεῖν μηδὲ λυπηρόν τινι γενέσθαι
but into-reproach not to-fall nor painful to-anyone to-become
τῶν χρωμένων ἀδύνατον παντάπασιν ὁρῶντες, ὀρθῶς
of-the associates impossible altogether seeing rightly
βουλευσόμεθα τὰς τῶν ἀγνωμόνων ἀπεχθείας ἐκδεχόμενοι
we-shall-counsel the of-the unfeeling hatreds accepting
μᾶλλον ἢ τὰς τῶν δικαίως ἐγκαλούντων, ἐὰν ἐκείνοις
rather than the of-the justly accusing if to-those
μὴ δικαίως ὑπουργῶμεν. καὶ μὴν ἔπαινόν γε τὸν
not justly we-serve and indeed praise at-least the
παρὰ τῶν δυσωπούντων κίβδηλον ὄντα παντάπασι δεῖ
from the out-facers counterfeit being altogether one-must
φυλάττεσθαι, καὶ μὴ πάθος πάσχειν ὑῶδες, ὑπὸ κνησμοῦ
to-guard-against and not passion to-suffer swinish by itching
καὶ γαργαλισμοῦ παρέχοντα χρῆσθαι ῥᾷστα τῷ δεομένῳ
and tickling offering to-use most-easily to-the asker
καὶ καταβάλλειν ἑαυτὸν ὑποκατακλινόμενον.
and to-throw-down oneself lying-down-under

οὐδὲν γὰρ διαφέρουσι τῶν τὰ σκέλη τοῖς ὑποσπῶσι
nothing for differ from-those the legs to-those tripping
παρεχόντων οἱ τὰ ὦτα τοῖς κολακεύουσι παραδιδόντες,
offering those the ears to-the flatterers handing-over
ἀλλ' αἴσχιον ἀνατρέπονται καὶ πίπτουσιν, οἱ μὲν
but more-shamefully are-overturned and fall the(-ones) indeed
ἔχθρας καὶ κολάσεις ἀνιέντες ἀνθρώποις πονηροῖς, ἵν'
enmities and punishments remitting to-men wicked so-that
ἐλεήμονες καὶ φιλάνθρωποι καὶ συμπαθεῖς κληθῶσιν·
merciful and humane and sympathetic they-may-be-called
οἱ δὲ τοὐναντίον ἀπεχθείας καὶ κατηγορίας οὐκ
the(-others) and on-the-contrary hatreds and accusations not
ἀναγκαίας οὐδ' ἀκινδύνους ἀναδέξασθαι πεισθέντες ὑπὸ τῶν
necessary nor safe to-undertake persuaded by those
ἐπαινούντων ὡς μόνους ἄνδρας καὶ μόνους ἀκολακεύτους
praising as only men and only unflattering
καὶ νὴ Δία στόματα καὶ φωνὰς προσαγορευόντων. διὸ
and by Zeus mouths and voices calling therefore
καὶ Βίων ἀπείκαζε τοὺς τοιούτους ἀμφορεῦσιν, ἀπὸ τῶν
also Bion likened the such to-jars by the
ὤτων ῥᾳδίως μεταφερομένοις. ὥσπερ Ἀλεξῖνον ἱστοροῦσι
handles easily carried-about as Alexinus they-relate
τὸν σοφιστὴν πολλὰ φαῦλα λέγειν ἐν τῷ περιπάτῳ
the sophist many base-things to-say in the walk
περὶ Στίλπωνος τοῦ Μεγαρέως· εἰπόντος δέ τινος τῶν
about Stilpo the Megarian having-said and someone of-those
παρόντων 'ἀλλὰ μὴν ἐκεῖνός σε πρῴην ἐπῄνει,' 'νὴ Δία'
present but indeed he you lately praised by Zeus
φάναι· 'βέλτιστος γὰρ ἀνδρῶν ἐστι καὶ γενναιότατος.'
to-have-said best for of-men he-is and noblest
ἀλλὰ Μενέδημος τοὐναντίον, ἀκούσας ὡς Ἀλεξῖνος αὐτὸν
but Menedemus on-the-contrary having-heard that Alexinus him

ἐπαινεῖ πολλάκις ‘ἐγὼ δ” εἶπεν ‘ἀεὶ ψέγω Ἀλεξῖνον· ὥστε
praises often I and he-said always blame Alexinus so-that
κακός ἐστιν ἄνθρωπος ἢ κακὸν ἐπαινῶν, ἢ ὑπὸ χρηστοῦ
bad is man either bad praising or by good
ψεγόμενος.’ οὕτως ἄτρεπτος ἦν καὶ ἀνάλωτος ὑπὸ τῶν
being-blamed so unbending he-was and uncatchable by the
τοιούτων καὶ κρατῶν ἐκείνης τῆς παραινέσεως, ἣν ὁ
such and mastering that the exhortation which the
Ἀντισθένειος Ἡρακλῆς παρῄνει, τοῖς παισὶ διακελευόμενος
Antisthenean Heracles gave to-the children bidding
μηδενὶ χάριν ἔχειν ἐπαινοῦντι αὐτούς· τοῦτο δ’ ἦν
to-no-one gratitude to-have praising them this but was
οὐδὲν ἄλλο ἢ μὴ δυσωπεῖσθαι μηδ’ ἀντικολακεύειν τοὺς
nothing other than not to-be-out-faced nor to-flatter-back those
ἐπαινοῦντας. ἀρκεῖ γὰρ οἶμαι τὸ τοῦ Πινδάρου, πρὸς τὸν
praising suffices for I-think the — of-Pindar to the
λέγοντα πανταχοῦ καὶ πρὸς πάντας ἐπαινεῖν αὐτὸν εἰπόντος
one-saying everywhere and to all to-praise him having-said
‘κἀγώ σοι χάριν ἀποδίδωμι· ποιῶ γάρ σ’ ἀληθεύειν.’
and-I to-you gratitude repay I-make for you to-tell-the-truth
19 ὃ τοίνυν πρὸς πάντα τὰ πάθη χρήσιμόν ἐστι, τούτου
what then for all the passions useful is of-this
δεῖ μάλιστα τοῖς εὐδυσωπήτοις, ὅταν ἐκβιασθέντες
there-is-need most for-the easily-out-faced when forced
ὑπὸ τοῦ πάθους παρὰ γνώμην ἁμάρτωσι καὶ διατραπῶσιν,
by the passion against judgment they-err and are-abashed
ἰσχυρῶς μνημονεύειν, καὶ τὰ σημεῖα τοῦ δηγμοῦ καὶ τῆς
strongly to-remember and the marks of-the sting and of-the
μεταμελείας θεμένους ἐν ἑαυτοῖς ἀναλαμβάνειν καὶ φυλάττειν
repentance having-placed in themselves to-take-up and to-keep
ἐπὶ πλεῖστον χρόνον. ὡς γὰρ οἱ λίθῳ προσπταίσαντες
for longest time as for those on-stone having-stumbled

ὁδοιπόροι ἢ περὶ ἄκραν ἀνατραπέντες κυβερνῆται, ἂν
travelers or around headland capsized pilots if
μνημονεύωσιν, οὐκ ἐκεῖνα μόνον ἀλλὰ καὶ τὰ προσόμοια
they-remember not those only but also the similar-things
φρίττοντες καὶ φυλαττόμενοι διατελοῦσιν· οὕτως οἱ τὰ τῆς
shuddering and guarding-against continue so those the of-the
δυσωπίας αἰσχρὰ καὶ βλαβερὰ συνεχῶς τῷ μετανοοῦντι
compliance shameful and harmful continually to-the repenting
καὶ δακνομένῳ προβάλλοντες ἀντιλήψονται πάλιν ἑαυτῶν
and stung putting-forward will-lay-hold-of again themselves
ἐν τοῖς ὁμοίοις καὶ οὐ προήσονται ῥᾳδίως ὑποφερομένους.
in the similar-things and not will-let-go easily being-carried-away